



DE
MORBORUM
CAUSIS
ARETAEUS









ΑΡΕΤΑΙΟΥ
ΚΑΠΠΑΔΟΚΟΥ

Περὶ αἰτιῶν καὶ σημείων ὀξέων καὶ χρονίων παθῶν, Βιβλ. δ.
Ὀξέων καὶ χρονίων νούσων θεραπευτικά, Βιβλ. δ.

ARETÆI CAPPADOCIS

DE ACVTORVM, AC DIVturnorũ morborũ causis & signis, Lib. IIII.
De acutorum, ac diuturnorum morborum curatione, Lib. IIII.

EX BIBLIOTHECA REGIA.



Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS M. D. LIIII,
Apud Adr. Turnebum typographũ Regium.
EX PRIVILEGIO REGIS.

ΟΔΔΩΝΙ ΚΑΣΤΙΛΛΙΩΝΙΩ

Καρδινάλει Ἰάκωβος Γούπυλος ἰατρὸς εὖ πράττειν.



Χρήσιμον ἔγωγε μᾶλλον καὶ βιωφελὲς τοῦτ' εἶναι πάντας ὁμολογήσειν ἡγοῦμαι, λαμπρότατε δέσποτα, τὸ τοῖς γονιμωτέροις ζητεῖν καὶ χαριεστέροις τῶν σοφῶν ἀνδρῶν, φημὶ δὴ τῶν παλαιῶν, ἐκ τοῦ τῆς λήθης ὡσανεὶ βυθοῦ ἀνιμᾶν τε καὶ εἰς φῶς ἄγειν, καὶ τοῖς αὐτῶν ἐφιεμένοις ἐκδοῦναι, ἢ νέα τινὰ κεκιβδηλευμένα καὶ ἐκμελῆ συγγράμματα συντιθέναι πολλῷ χείρω τῶν παλαιῶν ἀεί γε τυγχάνοντα, διὰ τὴν τῶν νῦν ἀμαθίαν, καὶ τὴν τῶν βιωτικῶν φροντίδα. τούτου γε χάριν καὶ τὸν τῆς ἀρετῆς ἐπώνυμον καππαδόκην ἐν ταῖς καππαδοκικαῖς χιόσι τοσοῦτον κεχωσμένον· διὸ καὶ διερρυηκότα σχεδὸν τὰ πλείω τῶν γραμμάτων ἐτύγχανε· τῷ χρόνῳ δὲ ταῖς ἡλιακαῖς ἀκτῖσι τῆς χιόνος διαλυθείσης, εἰς τὴν βασιλικὴν κομισθέντα βιβλιοθήκην, τοῖς φιλιατροῦσιν ἐγχειρίσαι διέγνωμεν, ἐμοῦ εἰσηγουμένου τυπωθέντα τε καὶ ἐς ὅτι μάλιστα ἀπηκριβωθέντα, ἔκ τε τῶν βασιλικῶν ἀντιγράφων, καὶ δυοῖν ἑτέρων, τοῦ μὲν τοῦ ἐν ἀσκληπιάδαις ἀρίστου Καπέλλου· τοῦ δὲ ἐμαυτοῦ πόνῳ καὶ δαπάνῃ κτησαμένου, ὥσπερ πάλαι καὶ περὶ τοῦ Τραλλιανοῦ Ἀλεξάνδρου τοῦτο ποιῆσαι οὐκ ὠκνήσαμεν· ἄνδρα σοφόν τε καὶ παλαιὸν τοῖς τὰ ἰατρικὰ ποθοῦσι χαριζόμενοι, Ἱπποκράτους μὲν ὕστερον γεγονότα, Γαληνοῦ δὲ πρότερον· καὶ τοῦ μὲν ζηλωτὴς, καὶ τέχνην καὶ διάλεκτον ἐγένετο, τὴν ἰατρικὴν γράψας ἰωνικῶς· τοῦ δὲ οὐχ ἧττον διαγνωστικὸς, καὶ θεραπευτικὸς, καὶ ταῦτα οὐκ

ἐξειργασμένης οὔσης τὴν ἰκαῦτα τῆς θείας ἰατρικῆς. διὸ καὶ μᾶλλον τῶν ἄλλων ἐπαινετέος ἡμῖν, κάλλιστα τὴν τέχνην διεξειργασμένος· ὥστε καὶ ἐπ' αὐτῷ τὴν θρυλλουμένην ἐψεῦσθαί μοι δοκεῖν παροιμίαν, τὴν, τρία κάππα κάκιστα, καππαδόκην, κρῆτα, καὶ κίλικα διισχυριζομένην. καὶ γὰρ χρηστὸς ὢν ἀνὴρ, καὶ τῶν τότε ὄντων καὶ μετ' αὐτὸν ἐσομένων ἀνθρώπων οὐχ ἧττον ἢ ἑαυτοῦ κηδόμενος, ἢ τὴν τὸ ζῆν αὐτῶν ὠφελοῦσαν, καὶ τῶν σωμάτων, κατὰ Πλάτωνα, παιδαγωγικὴν ἰατρικὴν οὐκ ἀμούσως συνέγραψε. τοῦ ἀνδρὸς τοίνυν τούτου τοσοῦτον ἀρετῇ καὶ σοφίᾳ διαπρέψαντος τὰ χρησιμώτατα τοῖς ἀσκληπιάδαις καθεστηκότα ἀσμένος ἐξεδόμην, καὶ τῇ σῇ μεγαλοψυχίᾳ εἰκότως ἐπεφημισάμην, ἀεὶ τοῖς τῇ ἀρετῇ καὶ σοφίᾳ ἑπομένοις προστιθεμένῃ. σὺ γὰρ διὰ τὴν ἀνείκαστόν σου φιλανθρωπίαν οὐ μόνον ἐπὶ τοῖς τῷ κοινῷ λυσιτελές τι ποριζομένοις, πάνυ γε χαίρεις, ἀλλὰ καὶ τοῖς ἀγωνιζομένοις τοὺς ἐρριμμένους εἰκῇ που, καὶ οἱονεὶ ἐφθαρμένους συγγραφεῖς βυσσόθεν ἐξάγειν εἰς φῶς, εὐμενῶς τὰ πρὸς τὸν βίον πορίζῃ, καὶ ὑπερασπίζεις τὰ μέγιστα, ἐξ ὧν εἷς καὶ αὐτός εἰμι, καὶ, ἵνα συνελὼν εἴπω, εἴ τι μοι ἐπὶ σχολῆς τῶν ἀγαθῶν τι περίεστιν, τῇ σῇ εὐμενείᾳ καὶ φιλανθρωπίᾳ μοι χορηγεῖται, Ἔρρωσο.

Τοῦ αὐτοῦ εἰς Ἀρεταῖον.

Υἱὸν ἀκεσορίης Ἀρεταῖον ἔειπεν ἀθρήσας
Πορθμεὺς τῶν νεκύων, δώμασι Περσεφόνης,
Κοίραν' ὑποχθονίων ἀκόρεστε βροτῶν Ἀϊδωνεῦ,
Πῶς ὄλεθρον νεκύων δεῦρο φέρεις κατέχειν.
Ὧδε γὰρ ἐξεπίτηδες ἐπῆλθε νέκυς ἀνεγεῖραι
Τῶν ἀσκληπιαδῶν ἔξοχος ὢν σοφίῃ.
Ἄγρει μὰν ἐκ τοῦδε νεκρῶν τάχα, μή σε κενώσῃ·
Ὧν ἰητρεύει, οὐδὲν ὁρῶ φθίμενον.

[illegible]

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

ΠΕΡΙ ΑΙΤΙΩΝ ΚΑΙ ΣΗΜΕΙΩΝ ΟΞΕΩΝ ΠΑΘΩΝ, ΒΙΒΛ. Α.

Η ἀρχὴ λείπει. κεφ. ε.

* ἀμβλύτητες, ἴλιγγοι, τενόντων βάρεα, φλεβῶν ἐν τῷ τραχήλῳ πληρώσιες καὶ διατάσιες, ναυτία τε πολλὰ μὲν ἐπὶ σιτίοις, οὐχ ἥκιστα δὲ καὶ ἐπ' ἀσιτίῃσι, καὶ βληχρὴ, καὶ φλέγμα ἐμεῖται συχνόν· ἀποσιτίη καὶ ἀπεψίη ἐπὶ σμικροῖσι ἐδέσμασι· φυσώδεες, ἐπηρμέναι ὑποχόνδρια. τάδε μὲν οὖν διηνεκέα· ἢν δὲ πλησίον εἴδεος ᾖ τοῦ παροξυσμοῦ, κύκλῳ μαρμαρυγαὶ περὶ τῆς ὄψιος πορφυρέων ἢ μελαίνων, ἢ πάντων ὁμοῦ συμμεμιγμένων, ὡς δοκέειν τὴν ἐν οὐρανῷ τετανύσθαι ἶριν. ἦχοι ὤτων, βαρυοδμίη· ὀργίλοι, πικρόχολοι παραλόγως. κατέπεσον γοῦν τινὲς ὑπὸ περιφάσιος ἐξ ἀθυμίης· μετεξέτεροι δὲ ῥεύματι ποταμοῦ ἀτενέες ἐνιδόντες, ἢ τροχῷ δινευμένῳ, ἢ βέμβικι ἑλισσομένῃ· ἄλλοτε δὲ ὄσφρησις βαρέων ὀσμῶν κατέβαλε, ὥσπερ γαγάτου λίθου. τοῖσδε μὲν οὖν ἐν τῇ κεφαλῇ τὸ κακὸν ἐστηρίχθη τε, καὶ ἐντεῦθεν πημανθὲν ἄρχεται· μετεξετέροισι δὲ καὶ ἀπὸ τῶν πορρωτέρω τῆς κεφαλῆς νεύρων, ὁκόσα ξυμπαθέα τῇ ἀρχῇ, γίγνεται. δάκτυλοι γοῦν μεγάλοι χειρῶν ἢ ποδῶν ξυνέλκονται, καὶ πόνος, καὶ νάρκη, καὶ τρόμος ἕπεται. καὶ ἐς κεφαλὴν τουτέων ἡ ὁρμὴ ἥκει, ἢν ἕρπον τὸ κακὸν εἰς τὴν κεφαλὴν ἵκηται, πάταγος τουτέοισι γίγνεται ὡς ἀπὸ πληγῆς ἢ ξύλου, ἢ λίθου· καὶ ἐξαναστάντες ἐνδιηγεῦνται, ὡς ὑπό τευ ἐξ ἐπιβουλῆς παταχθέντες. ἥδε μὲν τίνι ἀπάτη γίγνεται, ὁκόσοισι τόδε πρῶτον τὸ κακὸν ξυνέπεσε· οἷς δὲ ξυνήθες τὸ πάθος, ἢν ἐπίῃ μὲν ἡ νοῦσος, ἐς δάκτυλον δὲ ἤδη ἀφίκηται, ἢ ἀ-

ἢν ἀπό τευ ἄρξηται, ξυνήθεας ἀρωγοὺς καλέουσι τοὺς παρεόντας,
προγνώσει τοῦ μέλλοντος ὑπὸ ἐμπειρίης· διασφίγγειν τε καὶ ἀνα-
κλᾶν ἢ συντείνειν δέονται τὰ κατάρχοντα μέρεα· καὶ αὐτοὶ
δὲ ἑωυτέοισιν ἕλκουσι τὰ μέρεα ὅκως περ τὴν νοῦσον ἐξαιρεύμενοι.
καὶ σφέων ἤ τοι ἥδε ἐπικουρίη κοτὲ, καὶ ἐς τὴν ἡμετέρην σημα-
σίην διώσατο. πολλοῖσι δὲ φόβος ἐστὶ ὡς ἐπιόντος θηρίου, ἢ
σκιῆς φαντασίη, καὶ οὕτω κατέπεσον. ἐν δὲ τῇ σημασίῃ, ἀναι-
σθήτως μὲν κέεται ὥνθρωπος· χεῖρες δέ οἱ σπασμῷ συνέρχονται,
σκέλεα οὐ διαπεπλεγμένα μοῦνον, ἀλλὰ τῇδε κἀκεῖσε βαλλό-
μενα αὐτοῖς ἀπὸ τῶν τενόντων· ἐσφαγμένοισι ταύροισι ἥδε ἰκέ-
λη ἡ ξυμφορή· αὐχὴν ἀγκύλος, κεφαλὴ ποικίλως διάστρο-
φος. ἄλλοτε μὲν γὰρ ἐς τὸ πρηνὲς τόξον γίγνεται, εὖτε ἐς τὸ στέρνον ἡ γένυς
ἐρείδει, ἄλλοτε δὲ ἐς τὸ μετάφρενον ἀνακλᾶται, ὅκως τοῖς
ἀπὸ τῆς κόμης ἑλκομένοισι βίῃ, οὔτε ἔνθα ἢ ἔνθα ἐπὶ τοὺς ὤ-
μους ἰζάνει· χάσκουσι μέγα, στόμα ξηρόν, γλῶσσα προμήκης,
ὡς καὶ κίνδυνον τρώματος μεγάλου γίγνεσθαι, ἢ ἀποτομῆς·
κοτὲ σπασμῷ ξυνερείσουσιν οἱ ὀδόντες· ὀφθαλμοὶ ἐνδεδινη-
μένοι, βλέφαρα τὰ πολλὰ διέχοντα ξὺν παλμῷ· ἢν δὲ ἐπιμύ-
σαι κοτὲ ἐθέλοιεν, οὐ ξυμβάλλουσι τὰ βλέφαρα, ὡς καὶ τὰ λευ-
κὰ ὁρῆσθαι ἐξ ὑποφάσιος· ὀφρύες, ἄλλοτε μὲν ἐς τὸ μεσό-
φρυον ἀγειμέναι, ὅκως τοῖς χαλεπαίνουσι· ἄλλοτε δὲ ἐς τοὺς
κροτάφους ἀπηγμέναι, πολλόν τι μᾶλλον, ὡς τὸ δέρμα περὶ τὸ
μέτωπον σφόδρα περιτετάσθαι, καὶ τὰς τοῦ μεσοφρύου ῥυτί-
δας ἐξαληλίφθαι· μῆλα ἐρυθρά, παλλόμενα χείλεα, κοτὲ μὲν
ἄμφω ἐς ὀξὺ μεμυκότα, ἄλλοτε δὲ ἐς τὰ πλάγια ἀπηγμένα·
εὖτε τοῖσι ὀδοῦσι περιτείνεται τοῖσι μειδιῶσι ὁμοίως· ἐρύθη-
μα μήλων· ἐν αὔξῃ δὲ τοῦ κακοῦ, καὶ πελιδνότης τοῦ προσώ-
που προσγίγνεται· ἀγγείων τῶν ἐν τῷ αὐχένι διάτασις, ὡς
ἐν πνιγὶ ἀφωνίη, ἀναισθησίη, καὶ εἰ μέγα ἐμβοῇς· νυγμὸς δὲ
καὶ στεναγμὸς ἡ φωνή, καὶ ἡ ἀναπνοή, καὶ ἡ πνὶξ ὡς ἀπαγχ-

μένῳ· σφυγμοὶ σφοδροὶ, καὶ ταχέες, καὶ σμικροὶ ἐν τῇσι ἀρχῇσι· μεγάλοι δὲ, καὶ βραδέες, καὶ νωθροὶ ἐπὶ τῷ τέλει, ἄτακτοι δ᾽ ἐς τὸ ξύνολον· αἰδοίων ξύντασις. τάδε μὲν οὖν ἐς τέλος τῆς σημασίης πάσχουσι· ἢν δ᾽ ἐς ἄφεσιν ἀφικνέωνται τοῦ κακοῦ, οὖρα αὐτόματα, κοιλίης περίπλυσις· μετεξετέροισι δὲ καὶ γονῆς ἀπόκρισις τῇ θλίψει καὶ πιέσει τῶν ἀγγείων, ἢ γαργαλισμῷ τοῦ πόνου, καὶ ὑγρασίης περιβλύσει. γίγνονται γὰρ ἐν νεύροισι πόνοι καὶ τοῖσδε. στόμα δίυγρον, φλέγμα πολλὸν, παχὺ καὶ ψυχρὸν, καὶ εἰ ἕλκοις αὐτὸ, ἐπὶ μᾶλλον ἂν πλῆθος αὐτέου μηρύσαιο. ἢν δὲ χρόνῳ μακρῷ καὶ πόνῳ πολλῷ βραδέη μὲν τὰ ἔνδον τοῦ θώρηκος, πνεῦμα δ᾽ ἐγκατειρχθὲν τὰ πάντα σείσῃ· σπασμὸς δὲ καὶ τάραχος τῶν αἰτίων ἔῃ· κλύδων δὲ ὑγρῶν ἀναπνέῃ ἐς τὰς διαπνοὰς, στόμα καὶ ῥῖνα, σὺν ὑγρῷ τὸ πνεῦμα, ἄνεσις δὴ τῆς πρόσθεν πνίξιος ἁπάντων ἔοικε. ἀφρὸν δὲ ἀποπτύουσι ὥσπερ ἐπὶ τοῖσι μεγάλοισι πνεύμασι, ἡ θάλασσα τὴν ἄχνην· εὖτε καὶ ἐξανίσανται δῆθεν ὡς τελευτήσαντος τοῦ κακοῦ· ἐπὶ δὲ τῇ ἀποπαύσει, νωθροὶ τὰ μέλεα τὰ πρῶτα, καρηβαρικοὶ, διαλελυμένοι, παρετοὶ, ὠχροὶ, δύσθυμοι, κατηφέες, καμάτῳ καὶ αἰσχύνῃ τοῦ δεινοῦ.

ΠΕΡΙ ΤΕΤΑΝΟΥ κεφ. ϛ.

Σπασμοὶ οἱ τέτανοι, κάρτα μὲν ἐπίπονοι, ὀξύτατοι δὲ κτεῖναι, ἀτὰρ οὐδὲ ῥηΐδιοι λυθῆναι. μυῶν τῶν ἐν γνάθοισι καὶ τενόντων τάδε πάθεα· ξυνδιδοῖ τε τὸ κακὸν εἰς τὸ πᾶν. ἅπαντα γὰρ ξυμπαθέα τῇσι ἀρχῇσι γίγνεται· ἰδέαι δὲ τῆς ξυνολκῆς ἔασι τρεῖς· ἐς εὐθὺ, ἐς τὸ κατόπιν, ἐς τοὔμπροσθεν· ἐς εὐθὺ μὲν, ὁ τέτανος, εὖτε ἀστραβὴς ἄνθρωπος καὶ ἀκαμπὴς ἐντέταται· αἱ δὲ εἰς τοὐπίσω, ἢ εἰς τοὔμπροσθεν ξυνολκαὶ, ξὺν τῇσι καὶ τῷ χωρίῳ ἴσχουσι τὴν ἐπίκλησιν. τὴν μὲν γὰρ, κατόπιν τοῦ νοσέοντος ἀνάκλισιν, ὀπισθότονον καλέομεν, τὴν τῇδε πεπονθό-

τῶν νεύρων· ἐμπροσθότονος δὲ, ἢν ἐς τοὔμπροσθεν καμπύληται ἄνθρωπος ἐπὶ τοῖσι πρόσθεν νεύροισι. τόνος γὰρ νεύρων καὶ ἔντασιος οὔνομα. προφάσιες δὲ τῶνδε μυρίαι. καὶ γὰρ ἐπὶ τρώματι φιλέουσι γίγνεσθαι, ὑμένος, ἢ μυῶν, ἢ νεύρων νυχθέντων· οὔτε τὰ πολλὰ θνήσκουσι. ἐπὶ τρώματι γὰρ σπασμὸς θανάσιμον· ἁλίσκεται δὲ καὶ ἐπὶ ἀμβλώματι ἡ γυνή· ἀτὰρ καὶ ἥδε οὐ μάλα περιγίγνεται· καί τευ πατάξαντος μεγάλως τὸν αὐχένα μετεξέτεροι ἁλίσκονται. καὶ ψύξις κάρτα ἰσχυρὴ γίγνεται αἰτίη. διὰ τόδε χεῖμα μὲν μάλιστα πάντων τίκτει τάδε τὰ πάθεα· δεύτερον δὲ ἦρ, σὺν τῷ μετοπώρῳ· θέρος δὲ, ἥκιστα, εἰ μὴ κατάρξῃ τρῶμα, ἢ νούσων ἀλλοδαπῶν ἐπιδημίη. γυναῖκες δὲ ἀνδρῶν ἁλίσκονται μὲν μᾶλλον, ὅτι ψυχραί· ἀτὰρ αἵδε περιγίγνονται μᾶλλον, ὅτι ὑγραί. ἡλικίαι δὲ, παῖδες μὲν ξυνεχέες, ἀλλ' οὐ μᾶλλον θνήσκουσι, ὅτι ξυνήθες καὶ οἰκεῖον πάθος. νέοι δὲ τουτέων ἧσσον πάσχουσι, μᾶλλον δὲ θνήσκουσι· ἀκμάζοντες ἥκιστα· γέροντες δὲ πάντων μᾶλλον καὶ πάσχουσι καὶ θνήσκουσι. αἰτίη γὰρ ψύξις καὶ ξηρότης γήραος, καὶ θανάτου ἡ φύσις. ἢν δὲ ἡ ψύξις ἔῃ σὺν ὑγρῷ, ἀσινέστεροί τε καὶ ἀσφαλέστεροι εἰς κίνδυνον οἱ σπασμοί. ξυνίεσι μὲν αὐτέοισι, ἀθρόον μὲν ἅπασι εἰρῆσθαι, πόνος καὶ ἔντασις τενόντων καὶ ῥάχιος, καὶ μυῶν τῶν ἐν γνάθοισι καὶ θώρηκι. ἐρείδουσι γὰρ τὴν κάτω γένυν πρὸς τὴν ἄνω, ὡς μηδὲ μοχλοῖσιν ἢ σφηνὶ διὰ ῥηϊδίως στῆσαι δύνασθαι. ἢν δὲ καὶ βίῃ διαγαγὼν τοὺς ὀδόντας ἐνστάξῃ τις ὑγρὸν, οὐ καταπίνουσι, ἀλλ' ἐκχέουσι, ἢ ἐν τῷ στόματι ἴσχουσι, ἢ ἐς τὰς ῥῖνας ἀνακόπτεται· ὅ,τε γὰρ ἰσθμὸς συνερείδεται, καὶ τὰ παρίσθμια σκληρὰ καὶ ἐντεταμένα ἐόντα, οὐ ξυμπίπτει εἰς τὴν ἔνθλιψιν τοῦ καταπινομένου. πρόσωπα ἐρυθρὰ, πεποικιλμένα, ὀφθαλμοὶ μικροῦ δεῖν ἀτενέες, μόλις περιδινούμενοι· πνὶξ ἰσχυρὴ, ἀναπνοὴ κακὴ, χειρῶν καὶ σκελέων τάσις, μύες παλλόμενοι, πρόσωπα ποικίλως διάστροφα, μῆλα καὶ χείλεα τρομώδεα, γένυς παλλομένη, ὀδόντων ἄραβος, ἐπ' ἄλλῳ δ' αὖ τινι, καὶ τὰ ὦτα. ἐγὼ δὲ ἐ-

incurvatur

Punctionem accepit.

Cerv: Ictu

perraro in pradiesis & peregrini morbi grasseatur

minus noxia periculosa

1. comitantur
2. sup. max. inf. adnectit, ut nec Vectibus et Cuneis deduci possint.
3. regerunt.
4. fauces comprimuntur 5 non comitt: ad deglutitionem alim. 6. pene immob. detorti vertuntur 7. menti conquassatio 8. stridor

θηλύμην, καὶ ἐθώυμαζον· οὖρα ἐπισχόμενα μέχρι δυσουρίης καρτερῆς, ἢ αὐτομάτως ἐκχεόμενα θλιβομένης τῆς κύστεος. Τάδε μὲν οὖν ξυνὰ πάσῃ ἰδέῃ σπασμῶν· ἰδίῃ δὲ ἑκάστης, τετάνου μὲν ἡ ἐς εὐθὺ ἀπότασις ὅλου ἀσχαβὴς πάντη καὶ ἀκλινής· εὐθέα δὲ τὰ σκέλεα, καὶ χεῖρες· ὀπισθότονος δὲ κατόπιν ἀγκύλλει τὸν ἄνθρωπον, ὡς τὴν κεφαλὴν ἀνακεκλασμένην μεσηγὺ τῶν ὠμοπλατέων κέεσθαι· βρόχος ἐξέχει, γένυς τὰ πολλὰ διΐσταται· σπάνιον δὲ, εὖτε ξυνερείδει τῇ ἄνω. ῥωχμὸς ἡ ἀναπνοή. περιπετέες κοιλίην καὶ θώρηκα. οὖρον τουτέοισι μᾶλλον ἀκρατές· ἐπιγάστριον ἐπιτεταμένον, καὶ εἰ ἐπικρούοις ἐνηχοῦν· χεῖρες ἐν ἐκτάσει κατόπιν κεκλασμέναι· ἐναντίως γὰρ ἰγνύῃ κακόν τε κάμπτεται. ἢν δὲ ἐς τὸ ἔμπροσθεν ἕλκωνται, κυρτοὶ μὲν τὰ νῶτα, ἐπ' ἴσον τοῖσι μεταφρένοισι τῶν ἰσχίων ἐξωθευμένων· ῥάχις ἕλκει ἐς εὐθύ· κορυφὴ, κεφαλὴ πρηνής, ἐς θώρηκα συννένευκε· γένυς ἐπὶ τοῖσι στέρνοισι πεπηγυῖα, χεῖρες συνηρεισμέναι, σκέλεα ἐκτεταμένα. πόνοι ἁπάντων καρτεροὶ, φωνὴ ἁπάντων κλαυθμώδης· στενάζουσι δὲ μύζοντες βύθιον. ἢν μὲν οὖν τοῦ θώρηκος καὶ τῆς ἀναπνοῆς λάβηται τὸ κακὸν, ῥηϊδίως τοῦ ζῆν ἀπήγαγε· ἀγαθὸν μὲν τῷ νοσέοντι ἐς πόνων, τε διαστροφῆς, καὶ αἰσχύνης ἀπαλλαγήν· ἀλυπότερον δὲ καὶ τοῖσι παρεοῦσι, κἢν υἱὸς, ἢ πατὴρ ἔῃ· ἢν δὲ ἐς τὸ ζῆν ἔτι διαρκέῃ τῆς ἀναπνοῆς, εἰ καὶ κακῆς, συντελουμένης δὴ οὖν, ἐς τὸ πρόσθεν οὐ τοξοῦται μόνον, ἀλλὰ καὶ σφαιροῦται, ὡς τὴν κεφαλὴν ἐπὶ τοῖσι γούνασι ἔχειν, καὶ τὰ σκέλεα καὶ τὰ νῶτα ἐς τὸ πρόσθεν κεκλάσθαι, ὡς δοκέειν ἐς ἰγνύην κατὰ γόνυ τὸ ἄρθρον ἐξῶσθαι. ἐξάνθρωπος ἡ συμφορὴ, καὶ ἀτερπὴς μὲν ἡ ὄψις, ὀδυνηρὴ δὲ καὶ τῷ ὁρέοντι θέη· ἀνήκεστον δὲ τὸ ἄλγος· ἀγνωσία δὲ ὑπὸ διαστροφῆς καὶ τοῖς φιλτάτοις ἀνθρώποις· εὐχὴ δὲ τοῖσι παρεοῦσι ἡ πρόσθεν οὐχ ὁσίη, νῦν ἀγαθὴ γίγνεται, ἀπελθέμεναι τοῦ βίου τὸν κάμνοντα, ἐς ἀπαλλαγὴν ξὺν τῷ ζῆν, καὶ τῶν πόνων, καὶ τῶν

retro flectit revulsum gutture extat max dehiscunt raro q. fit. ut sic invicem committantur stertor in spir. 6. sine voluntate profluit c. resonans 7. Poplitibus contrario Cura incurvantur 8. coxa extrudantur ut in directum c dorso jac. 9. vergit. mentum sterno adglutinatur 10. conserta 11. flebilis, suspirant gementes alto etiamnum restat 13. reman. te spir. 12. in arcus non tantu, sed sphaera inclusi. 13 intra poplitem juxta geny 14 votum prius impium ut aeger obeat

citius virum disciderit divulserit
q^m membra efficerit recta

ἀτερπέων κακῶν. ἀτὰρ οὐδὲ ἰητῆρος παρεὸν ὁρέων οὔτε ἐς ζωὴν, οὔτε ἐς ἀπονίην, ἀτὰρ οὔτε ἐς μορφὴν ἔτι ἐπαρκέει. εἰ γὰρ καὶ ἐπευθῦναι ἐθέλοι τὰ μέλη, ζῶντα ἂν διατμήξαι καὶ κατάξαι τὸν ἄνθρωπον. τοῖσι οὖν κεκρατημένοισι οὐκέτι ἐγχειρέων, ξυνάχθεται μοῦνον. ἥδε ἐστὶ τοῦ ἰητροῦ μεγάλη συμφορή.

ΠΕΡΙ ΣΥΝΑΓΧΗΣ. κεφ. ζ.

Ἡ Συνάγχη κάτοξυ μὲν τὸ πάθος· ἀναπνοῆς γὰρ ἡ πίεσις· δύο δὲ τὰ εἴδεα. ἢ γὰρ τῶν ὀργάνων τῶν τῆς ἀναπνοῆς ἐστὶ φλεγμονὴ, ἢ μοῦνον τοῦ πνεύματος πάθος, ἐφ' ὅτευ τὴν αἰτίην ἴσχοντος. ὀργάνων δὲ, παρισθμίων, ἐπιγλωσσίδος, φαρυγγέθρου, κίονος, ἄκρης ἀρτηρίης· τῶν δὲ ἐπινέμηται ἡ φλεγμονὴ, καὶ γλώττης, καὶ γνάθων τῶν εἴσω· εὖτε περιβάλλουσι τῶν ὀδόντων τὴν γλῶτταν ὑπερβολῇ μεγέθεος. πίμπλησι γὰρ τὴν χώρην τοῦ στόματος, καὶ τὸ περιττὸν ταύτης ὑπὲρ τοὺς ὀδόντας ἐκχεῖται· συνάγχη καὶ κυνάγχη τόδε καλέεται, ἤτοι τῷ ξυνεχεῖ πάθεϊ τῷδε τῶν ζώων, ἢ τῷ ξυνήθεϊ τῆς περιβολῆς τῆς γλώσσης καὶ ἐν ὑγιείῃ. τῷ ἑτέρῳ δὲ εἴδεϊ τὰ ἐναντία ξυνέστι· ξύμπτωσις τῶν ὀργάνων, καὶ ἰσχνότης ἐπὶ μᾶλλον τῆς ἑκάστου φύσιος, καὶ πνὶξ καρτερὴ, ὡς δοκέειν σφίσι αὐτέοισι ἐς θώρηκα ἐς τὸ ἀφανὲς ἐγκεκρύφθαι τὴν φλεγμονὴν ἀμφὶ καρδίην καὶ πνεύμονα. συνάγχην τήνδε καλέομεν, ὅτι συνάγουσαν ἔνδον καὶ ἄγχουσαν· ἐμοὶ δὲ δοκέει αὐτέου τοῦ πνεύματος μούνου τὸ κακὸν ἔμμεναι, τροπὴν πονηρὴν ἐς τὸ θερμότατον καὶ ξηρότατον τρεπομένου, αὐτόθεν τοῦ σώματός τινος φλεγμονῆς. ἔστι δὲ οὐ μέγα τὸ θῶυμα. καὶ γὰρ ἐν χρονίοισιν αἱ πνίξιες τῶν σωμάτων ἐν πάθεϊ ὀξύταται γίγνονται, ἀλλὰ καὶ μιῇ εἰσπνοῇ θνήσκουσι ἄνθρωποι, πρὶν τὸ σῶμα κακόν τι παθέειν. ἀτὰρ καὶ ἀπὸ γλώσσης κυνὸς εἰσπνεύσαντος μοῦνον ἐς τὴν ἀναπνοὴν, οὔτι μὴν ἐν-

compressio

recepto tantum spiritu
in rab^m agitur homo

δακόντος, λυσσᾷ ὁ ἄνθρωπος. τὴν δὲ οὖν τῆς ἀναπνοῆς τὴν στέρησιν οὐκ ἀδύνατον γίγνεσθαι ἔνδοθεν· ἐπεὶ καὶ ἄλλα μόρια τῶν ἐν ἀνθρώπῳ τὴν αὐτὴν ἰδέην τοῖς ἔξωθεν αἰτίοις ἴσχει. χυλοὶ φθείροντες ἔσωθεν καὶ ἔξωθεν· ἀτὰρ καὶ νοῦσοι φαρμάκοισι δηλητηρίοισι ἴκελαι, καὶ ἀπὸ φαρμάκων ἐμέουσι ὁκοῖα πυρετῶν εἵνεκα. ὅθεν οὐδ' ἀπεοικὸς ἐν τῷ λοιμῷ τῷ ἐν Ἀθήνῃσι, μετεξετέροις δοκέειν εἰς τὰ φρέατα ἐν τῷ Πειραιεῖ, ὑπὸ Πελοποννησίων ἐμβεβλῆσθαι φάρμακα. οὐ γὰρ ξυνίεσαν ἄνθρωποι τὸ ξυνὸν τοῦ κακοῦ τοῦ λοιμώδεος πρὸς τὰ δηλητήρια. ξυνέστι δὲ τοῖσι μὲν κυναγχικοῖσι φλεγμονὴ παρισθμίων, φάρυγγος, παντὸς τοῦ στόματος· γλῶσσα περιπετὴς ὑπὲρ τοὺς ὀδόντας καὶ τὰ χείλεα· σιελοχόοι, φλέγμα παχύτατον, ἀπορρέον καὶ ψυχρόν· ἐρυθροὶ τὰ πρόσωπα καὶ ἐπηρμένοι, ὀφθαλμοὶ ἐξίσχοντες, ἀναπετέες, ἐξέρυθροι· τὸ ποτὸν ἐς τὰς ῥῖνας ἀνακόπτεται· πόνοι καρτεροὶ, ἀλλὰ καὶ ὑπὸ τῆς πνιγὸς συνδιωκόμενοι ἀμαυροῦνται· θώρηξ καὶ καρδίη φλέγεται· ποθὴ ψυχροῦ ἠέρος. εἰσπνέουσι δὲ μικρὸν πάνυ, ἔστε καὶ ἀπεπνίχθησαν, ἐμφραχθείσης τῆς ἐς τὸν θώρηκα διόδου. ἐνίοισι δὲ ἐς πνεύμονα ἡ ξύνδοσις ῥηιδίως· οἱ δὲ μεταστάσει θνήσκουσι· πυρετοὶ νωθροὶ, μαλακοὶ, οὐδὲν ὠφελέοντες. εἰ δέ τῳ ἐς ἀγαθὸν τρέποιτο, ἀποστάσιες γίγνονται ἔνθα καὶ ἔνθα παρ' οὖς, ἔξω ἢ ἔνδον, ἐς τὰ παρίσθμια· κῆν μὲν ξὺν νάρκῃ, μὴ κάρτα βραδέως, περιγίγνονται μὲν, ξὺν πόνῳ δὲ καὶ κινδύνῳ. ἢν δὲ τρεπομένων ἐς ἀπόστασιν ὄγκος μέζων ὑπογίγνηται, ἐς κορυφὴν τῆς ἀποστάσιος ἀνισταμένης, ἀθρόον πνίγονται. τάδε μὲν τὰ κυνάγχης εἴδεα. ξυνάγχης δὲ, σύμπτωσις, ἰσχνότης, ὠχρότης ξυνέστι· ὀφθαλμοὶ κοῖλοι, εἴσω δεδυκότες, φάρυγξ καὶ γαργαρεὼν ἀνεσπασμένοι, παρίσθμια ἐπὶ μᾶλλον προσίζοντα, ἀφωνίη, πνίξ. ἡ νοῦσος δὲ τοῦ εἴδεος τῆς πρόσθεν πολλόν τι κραταιοτέρη, ἐν θώρηκι ἐόντος τοῦ κακοῦ, ἔνθα ἡ ἀρχὴ τῆς ἀναπνοῆς· οἱ δὲ ὀξύτατοι θνήσκουσι αὐθη-

a nihil opis send.; b. extrorsum procedit

c. ex Synanche
fit Cynanche

μενοι ἔσθ' ὅτι καὶ πρὶν καλέσασθαι τὸν ἰητρὸν, οἱ δὲ καὶ ἐσκαλεσάμενοι οὐδὲν ὤναντο. ἀπέθανον γὰρ πρὶν ἢ τὸν ἰητρὸν ἐπὶ τέχνῃ χρήσασθαι. ὁκόσον δὲ ἐς ἀγαθὸν τρέπεται, ἐπιφλεγμαίνει πάντα, ἄχρι ἐς τὸ ἔξω ἡ φλεγμονὴ ἐξοκείλει, ὡς συνάγχην ἀπὸ κυνάγχης γίγνεσθαι· ἀγαθὸν δὲ καὶ ἐν θώρηκι οἴδημα καρτερὸν, ἢ ἐρυσίπελας ἐμφανέως. καὶ ἰητρὸς δὲ ἀγαθὸς, ἢ σικύῃ εἰς τὸν θώρηκα τὸ κακὸν ἀνήγαγε, ἢ σινήπι ἐς τὰ στέρνα καὶ ἐς τὰ παραγνάθοις μέρεα ἐπιθεὶς, εἵλκυσε ἔξω καὶ διέπνευσε· μετ' ἑτέροισι δὲ, ἐς μὲν βραχὺ τὸ κακὸν ὑπὸ τουτέων ἀπεπάθη ἔξω· ἀπολυθὲν δὲ, ἀθρόως ἐπαλινδρόμησε, καὶ ἐπανῆξε. προφάσιες δὲ μυρίαι, ψύξιες μᾶλλον, ἤπερ ἐκκαύσιες, πληγαὶ, ὀστέων ἰχθύων διαπάρσιες ἐς τὰ παρίσθμια, ψυχροποσίαι, μέθαι, πλησμοναὶ, καὶ τὰ ἀπὸ τῆς ἀναπνοῆς κακά.

Part.: circa maxillas. e. discutit f. extractum g. revertens suffocavit h. Desipis oris huic. intra

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΚΙΟνίδα κακῶν. κεφ. η.

Το ἀπὸ τῆς ὑπερῴης ἐκκρεμὲς σῶμα στερεὸν μεσηγὺ τῶν παρισθμίων, κίων καὶ γαργαρεὼν καλέεται. σταφυλὴ γὰρ πάθεός ἐστιν οὔνομα. νεῦρον δὲ ἐστὶ ἡ κιονὶς τὴν φύσιν, ἀλλ' ὑγρόν· ἐν γὰρ ὑγρῷ κέεται χωρίῳ. ὅδε ὦν ὁ γαργαρεὼν πλεῦνα πάσχει πάθεα. καὶ γὰρ ἐπὶ φλεγμονῇ παχύνεται, ἴσος ἀπὸ τῆς βάσιος ἄχρι τοῦ πέρατος ἄκρου, ἐπιμήκης γιγνόμενος, καὶ ἐρύθημα ἴσχει. κίων δὲ τοῦδε τοῦ πάθεος ἡ ἐπίκλησις. εἰ κατ' ἄκρας μοῦνον στρογγύλεται, καὶ μεγέθεϊ πελιδνὸς γίγνεται, καὶ ὑπομελαίνει, σταφυλὴ ἐπώνυμον τόδε τὸ πάθος. πάντα γὰρ ἴκελα αὐτέῃ, καὶ σχῆμα, καὶ χροιὴ, καὶ μέγεθος. τρίτον πάθος ἐστὶ ὑμένων, ἔνθα καὶ ἔνθα, ὁκότε λεπτὰ πλατέα, ἢ νυκτερίδων πτέρυγες ἐκφαίνονται· ἱμάντιον τόδε καλέεται. ἱμᾶσι γὰρ ἴκελαι αἱ τῶν ὑμένων εἰς πλάτος ἐξαπλώσιες. εἰ δὲ ἐς λεπτὸν καὶ ἐπιμήκη

solidum corp. gurgulio i. Uva crassescit ad apic. extr. extr. Parte rotundatur
∴
aff. 3.us pertinet ad membr. hinc alq. illinc lang.m: Vela lata, vespertilionum alae exporrigantur r. lororum spec.m refert lata membranarum explicatio

ὑμένα τελευτᾷ κιονὶς, οἷόν τι οὐραχὸν κατὰ πέρας ἴσχουσα, κράσπεδον τὴν ἐπωνυμίην ἴσχει. γίγνεται δὲ τόδε καὶ αὐτομάτως μὲν ἐκ ῥεύματος, ὁκωσοῦν καὶ ἕτερα· ἀτὰρ καὶ ἀπὸ τομῆς ἐπικαρσίης, ἐγκαταλιπόντος τοῦ ἰητροῦ ὑμένα κατὰ μίαν πλευρήν· ἢν δὲ δικρόα ὑμέσι διστέοισι ἐκκρεμέσι ἔνθα καὶ ἔνθα γίγνηται, οὔνομα μὲν οὐκ ἴσχει τόδε πάθος ἔκδηλον· ἅπαντα δὲ ῥηΐδιον θεησάμενον γιγνώσκειν. πνὶξ δὲ ἐπ' αὐτέοισι πᾶσι, καὶ ἥκιστα ῥηϊδίως καταπίνουσι. βὴξ ἐπὶ πᾶσι μὲν, μάλιστα δὲ ἐπὶ τοῖσι ἱμαντίοισι, καὶ ἐπὶ τοῖς κρασπέδοισι. γαργαλισμὸς γὰρ τῆς ἀρτηρίης ἀπὸ τῶν ὑμένων γίγνεται· ἔσθ' ὅπη δὲ καὶ ἐνστάζει τι τοῦ ὑγροῦ λάθρη ἐς τὴν ἀρτηρίην, ὅθεν ἀναβήσσουσι· ἐπὶ δὲ τῇ σταφυλῇ καὶ τῷ κίονι δύσπνοια ἐπὶ μᾶλλον, καὶ κάρτα πονηρὴ κατάποσις. καὶ γὰρ ἐς τὰς ῥῖνας ἐπὶ τῶνδε τὸ ὑγρὸν ἀναθλίβεται, συμπαθίῃ τῶν παρισθμίων. γηραιοῖσι ὁ κίων συνήθης, σταφυλὴ δὲ νέοισι καὶ ἀκμάζουσι· πολύαιμοι γάρ· καὶ ἐπιφλεγμαίνει μᾶλλον. ἡβάσκουσι δὲ καὶ παισὶ, τὰ ὑμενώδεα. τάμνειν δὲ πάντα, ἀσινέα· ἐπὶ δὲ τῇ σταφυλῇ ἐπ' ἐρυθριῶσι, αἱμοῤῥαγίη, καὶ πόνοι, καὶ φλεγμονῆς ἐπίδοσις.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΑ ΠΑΡΙΣΘΜΙΑ ἑλκῶν. κεφ. θ.

Ἕλκεα ἐν τοῖσι παρισθμίοισι γίγνεται, τὰ μὲν ξυνήθεα, εὐήθεα, καὶ ἀσινέα· τὰ δὲ ξένεα, λοιμώδεα καὶ κτείνοντα. εὐήθεα μὲν, ὁκοῖα καθαρά ἐστι, καὶ σμικρὰ καὶ ἀβαθῆ, οὐδὲ ἐπιφλεγμαίνει, καὶ ἀνώδυνα· λοιμώδεα δὲ, ὁκόσα πλατέα, κοῖλα, λιπαρά, ἐπιπάγῳ λευκῷ, ἢ πελιδνῷ, ἢ μέλανι συνεχόμενα· ἄφθαι τοὔνομα τοῖσι ἕλκεσι· ἢν δὲ καὶ ὁ ἐπίπαγος ἴσχῃ βάθος, ἐσχάρη τὸ πάθος καὶ ἔστι καὶ καλέεται· ἐν κύκλῳ δὲ τῆς ἐσχάρης ἐρύθημα γίγνεται καρτερὸν, καὶ φλεγμονὴ, καὶ πόνος

1. in Carbunculo. 2. Pustulae aliae aliis supervenientes coalescunt latumq. Ulcus efficiunt.

φλεβῶν ὡς ἐπ' ἄνθρακος, καὶ μικρὰ διεξανθήματα, ἀραιὰ γιγνόμενα· ἔπειτα προσεπιγιγνόμενα, συνήφθη τε ἀμφὶ, καὶ πλατὺ τὸ ἕλκος ἐγένετο. κἢν μὲν ἔξω ἐς τὸ στόμα νέμηται, ἐπὶ τὴν κιονίδα ἥκει τε μὲν, καὶ τὴν ἀπέταμεν, καὶ ἐς τὴν γλῶσσαν ἐσκεδάσθη, καὶ ἐς οὖλα, καὶ ἐς χαλινούς· καὶ ὀδόντες ἐκινήθησαν καὶ ἐμελάνθησαν, καὶ ἐς τὸν τράχηλον ἡ φλεγμονὴ ἐξώκειλε. καὶ οἵδε μὲν οὐ πολυήμεροι θνήσκουσι φλεγμονῇ, καὶ πυρετοῖσι, κακοδμίῃ καὶ ἀποσιτίῃ. ἢν δὲ ἐς τὸν θώρηκα νέμηται διὰ τῆς ἀρτηρίης, καὶ αὐθημερὸν ἀπέπνιξε. πνεύμων γὰρ καὶ καρδίη, οὔτε ὀδμῆς τοιῆσδε, οὔτε ἑλκέων, οὔτε ἰχώρων ἀνέχονται, ἀλλὰ βῆχες καὶ δύσπνοιαι γίγνονται. αἰτίη μὲν οὖν τοῦ ἔργου τῶν παρισθμίων, κατάποσις ψυχρῶν, τρηχέων, θερμῶν, ὀξέων, στυφόντων. τάδε γὰρ τὰ μέρεα, καὶ θώρηκι εἰς φωνὴν καὶ ἀναπνοὴν, καὶ κοιλίῃ ἐς τροφῆς διαπομπὴν, καὶ στομάχῳ ἐς κατάποσιν διακονέεται. εἰ δὲ καὶ τοῖσι ἔνδον τι συμβαίη πάθος, κοιλίῃ, καὶ στομάχῳ, καὶ θώρηκι, ἐς τὸν ἰσθμὸν καὶ τὰ παρίσθμια, καὶ τὰ τῇδε χωρία τοῦ κακοῦ ἡ ἀναφορὴ καὶ ἀπερεύξιες. διὰ τόδε παιδία μάλιστα πάσχει ἄχρις ἥβης· μάλιστα γὰρ παιδία καὶ μεγάλα καὶ ψυχρὸν ἀναπνέει. πλεῖστον γὰρ τὸ θερμὸν ἐν τουτέοισι. ἀκρατέα δὲ καὶ ἐδωδῆς, καὶ ποικίλων ἐπιθυμία, καὶ ψυχροποσίη· καὶ βοῶσι μέγα καὶ ἐν ὀργῇ, καὶ ἐν παιδιῇ. καὶ κούρῃσι δὲ, μέχρι καθάρσιος ἐπιμηνίων τάδε ξυνήθεα. χώρη δὲ τίκτει Αἴγυπτος μάλιστα. καὶ γὰρ ἐς ἀναπνοὴν ἐν ξηρῇ, καὶ ἐς ἐδωδὴν ποικίλη. ῥίζαι γὰρ καὶ βοτάναι, καὶ λάχανα πολλὰ, καὶ σπέρματα δριμέα, καὶ ποτὸν παχύ· ὕδωρ μὲν, ὁ Νεῖλος, δριμὺ δὲ τὸ ἀπὸ τῶν κριθέων, καὶ τὸ τῶν βρυτέων πόμα. τίκτει δὲ καὶ ἡ Συρίη, μάλιστα κοίλη· ὅθεν αἰγύπτια καὶ συριακὰ ἕλκεα τάδε κικλήσκουσι. τρόπος δὲ θανάτου, οἴκτιστος· πόνος μὲν δριμὺς καὶ θερμὸς, ὡς ἐπ' ἄνθρακος, ἀναπνοὴ κακή. ἀναπνέουσι γὰρ ὀδωδὸς σηπεδόνα καρτερήν· τὸ αὐτὸ δὲ πάλιν συντόνως τὸν θώρηκα ἐμπνέουσι· ἀσχ-

3 eamq. exest. 4. ad linguam dilabitur 5 saniem nec sustinent. 6 Affect. Tons. 7. transmissio 8. opitulantur 9. ad fauces 10 ascendit per eructat. 11. intemperantes cibo 12. in ludo. 13. Aer siccus 14. victus 15 Oleribus 16. radicibus

praesertim Caelosyria

miserrimus expirant rursusq. attrahunt odorem putred: Qui ita infestantur ulcere sui odorem

ροι, ὡς μηδὲ ἑωυτέων τὴν ὀδμὴν ἀνέχεσθαι· ὠχροὶ ἢ πελιδνοὶ τὰ πρόσωπα, πυρετοὶ ὀξέες, δίψος, ὡς ἐκ πυρός. τὸ δὲ ποτὸν οὐ προσίενται, δέει τῶν ἐμπόνων. ἄσσονται γὰρ ἢν τοῖσι παρισθμίοισι ἐνθλίβωσι, ἢ ἐς τὰς ῥῖνας ἀνατρέχῃ· καὶ ἢν μὲν κατακέωνται, ἀνακαθίζουσι, ὡς ἀνακεκλίσθαι οὐκ ἀνεχόμενοι· ἢν δὲ ἀνακαθίσωσι, ὑπὸ ἀπορίης αὖθις ἀνακλίνονται· τὰ πολλὰ δὲ ὀρθοστάδην περιΐασι· ἀκρασίῃ γὰρ ἡσυχίης, τὴν ἠρεμίην φεύγουσι, πόνῳ πόνον λύσαι θέλοντες. ἀναπνοὴ εἴσω μεγάλη· ψυχρὸν γὰρ ἠέρα ποθέουσι ἐς ἔμψυξιν· ἔξω δὲ σμικρή. πυρίκαυτα γὰρ ἐόντα τὰ ἕλκεα, προσεμπιπρᾶται ὑπὸ θέρμης τῆς ἀναπνοῆς. βράγχος, ἀφωνίη, καὶ τάδε ἐπὶ τὸ κάκιον ἐπείγει. οὗτε ἀθρόον καταπεσόντες εἰς τὴν γῆν, ἐξέλιπον.

ΠΕΡΙ ΠΛΕΥΡΙΤΙΔΟΣ. κεφ. ι.

ΥΠὸ τῇσι πλευρῇσι καὶ τῇ ῥάχει, τῷ ἔνδον θώρηκι, ἄχρι κληίδων, ὑμὴν λεπτὸς κραταιὸς ὑπέζωται, τοῖσι ὀστέοισι προσπεφυκὼς, ὑπεζωκὼς τοὔνομα. ὧδε ἐπὴν φλεγμονὴ γίνηται, πῦρ ξὺν βηχὶ, καὶ πτυάλοισι ποικίλοισι, πλευρῖτις τὸ πάθος καλέεται. χρὴ δὲ ταῦτα ἀλλήλοισι ξυνῳδέα καὶ ξύμπνοια ἔμμεναι, ἀπὸ μιῆς αἰτίης ξύμπαντα. ὁκόσα γὰρ τουτέων ἀπὸ ῥᾳδίην ἄλλα ὑπ᾽ ἄλλης αἰτίης γίγνεται, κἢν τὰ πάντα ἅμα ἐπιφοιτήσῃ, οὐ καλέεται πλευρῖτις· ξύνεστι δὲ πόνος ὀξὺς ἄχρι κληΐδων, πῦρ δριμὺ, κατάκλισις, ἐπὶ μὲν τὴν φλεγμαίνουσαν πλευρὴν, εὔφορος. ἐν ἕδρῃ γὰρ ἵζει τῇ ἑωυτέου ὁ ὑμήν· ἐς τὸ ἐπέκεινα δὲ, ἐπώδυνος. ὑπὸ γὰρ τοῦ ἄχθεος καὶ τῆς φλεγμονῆς, καὶ τῆς ἐξαρτήσιος, ἀποτέταται ἡ ὀδύνη ἄχρι τῆς ἁπάσης ξυναφίης τοῦ ὑμένος, ἐς ὤμους καὶ κληῗδας· μετεξετέροισι δὲ καὶ ἐς νῶτα, καὶ ἐς ὠμοπλάτην τὴν νωπαίην, τὴν πλευρῖτιν ἐκάλεον οἱ πρόσθεν. παρέπεται δὲ δύσπνοια, ἀγρυ-

malarum Rubor floridus 2. Sputa vix exscreata

πνίξ, ἀποσιτίη, μήλων ἐρύθημα φαιδρὸν, βὴξ ξηρὴ, πτύελα μόλις ἀναγόμενα, φλέγμα ἢ χολῶδες, ἢ δίαιμον κατακορέως, ἢ ὑπόξανθον· καὶ τάδε τάξιν οὐκ ἔχοντα, ἄλλοτε δὲ ἄλλα ἐπιφοιτέοντα, καὶ ἀπογιγνόμενα· κάκιον δὲ ἁπάντων, ἢν τὸ δίαιμον ἐκλείπῃ· γίγνονται δὲ παράληροι ἔστι δ' ὅτε καὶ κωματώδεες, καὶ ἐν τῇ καταφορῇ παράφοροι. ἢν μὲν οὖν ἐς κακὸν τρέπηται ἡ νοῦσος, πάντων ἐπὶ τὸ κάκιον ἐπιδιδόντων, ἐντὸς ἑβδόμης οἵδε θνήσκουσι ἐς συγκοπὴν ἐμπεσόντες· ἢν δὲ ἀπὸ τῆς δευτέρας ἑβδομάδος ἡ ἀρχὴ τῆς ἀναγωγῆς τῶν πτυέλων γίγνηται, καὶ τῶν ξυντεινόντων κακῶν, ἐς τὴν τεσσαρεσκαιδεκάτην θνήσκουσι· ἔσθ' ὅτῃ δὲ μεσηγὺ τουτέου τοῦ χρόνου, ἐς πνεύμονα πάντων ξύνδοσις γίγνεται. ἥκει γὰρ πνεύμων ἐς ἑωυτὸν, καὶ μανὸς, καὶ θερμὸς ἐὼν, τὸ ἐς ὁλκὴν τῶν πέλας κινδύμενος, εὖτε ἀθρόον ἀποπνίγῃ ὤνθρωπος, μετάστασις τοῦ πάθεος· ἢν δὲ ταύτην ὑπερέλθῃ ὁ νοσέων, καὶ ἐντὸς εἰκοστῆς μὴ ἀποθνήσκῃ, ἔμπυος γίγνεται. τάδε μὲν οὖν, ἢν ἐς κακὸν ἐπιδιδῷ. ἢν δὲ ἐπὶ τὸ ἀγαθὸν τρέπηται, αἱμοῤῥαγίη διὰ ῥινῶν λάβρως, εὖτε ἀθρόον λύεται ἡ νοῦσος· ἐπειδὴ καὶ ὕπνος καὶ ἀναγωγὴ φλέγματος, ἔπειτα δὲ χολωδέων λεπτῶν, ἐπὶ δὲ μᾶλλον λεπτοτέρων, αὖθις δὲ διαίμων, παχέων, σαρκοειδέων· κἢν ἐπὶ τῶν διαίμων παλινδρομέῃ μὲν ἡ χολὴ, ἐπ' αὐτῇ δὲ φλέγμα, ἀσφαλὴς ἡ ἀποκατάστασις· καὶ τάδε, ἢν ἀπὸ τρίτης ἡμέρης ἄρχηται, καὶ ῥηϊδίως ἀναβήσσουσι, λεῖα, ὁμαλὰ, ὑγρὰ, στρογγύλα. ἐς ἑβδόμην γὰρ καθίστανται, εὖτε καὶ κοιλίης ἐκταραχθείσης χολωδέων, ἀναπνοῆς κατάστασις, γνώμη εὐσταθὴς, πυρετοὶ ἐνδιδόντες, εὖσιτοι· ἢν δὲ ἀπὸ τῆς δευτέρης ἑβδομάδος τάδε ἄρξηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην καθίστανται· ἢν δὲ μὴ, εἰς ἐμπύημα τρέπεται, εὖτε ῥίγεα ἐνδείκνυται, πόνοι νυγματώδεες, ἀνακαθίνυσθαι θέλουσι, ἀναπνοὴ κακίων· δέος τότε μᾶλλον μὴ πνεύμων ἀθρόον τὸ πύος ἑλκύσας, ἀποπνίξῃ τὸν

3. deficit 4. soporo ipso desip. 5 augescant mala 6 rarus 7. si ultra diem istum superstes. 8. repente

si post sputa cruenta bilis redt. post eam pituita de salute securi 2. aequalia 3. liberentur 4. remittunt 5. sedendi cupiditas 6. Timor.

ἄνθρωπον, τὰ πρῶτα καὶ τὰ μείζω διαφυγόντα κακά· ἢν δὲ ἐς τὸ μεσηγὺ τῶν πλευρέων ῥέψῃ, καὶ διαστήσῃ τάσδε, καὶ κορυφὴν ἐς τὸ ἔξω προβάληται, ἢ ἐς ἔντερον ἐκραγῇ, τὰ πολλὰ περιγίγνεται ἄνθρωπος. φέρει δὲ τὴν νοῦσον ὥρη μὲν, χειμὼν μάλιστα πάντων, δεύτερον φθινόπωρον, ἦρ δὲ ἧσσον, ἢν μήκοτε ψυχρὸν γίγνοιτο· θέρος δὲ ἥκιστα. ἡλικίην, πρῶτον τῶν ἄλλων πάσχουσι γέροντες, οἳ καὶ μᾶλλον ἑτέρων τὸ πάθος διαδιδράσκουσι. οὔτε γὰρ μεγάλη ἂν γίγνοιτο φλεγμονὴ ἐν ξηρῷ τῷ σκήνεϊ, οὔτε ἐς πνεύμονα ἡ μετάστασις. ψυχρότερος γὰρ, ἢ ἐπὶ ἄλλης ἡλικίης, καὶ ἀναπνοὴ σμικρὴ, καὶ ἡ ὁλκὴ ἁπάντων ὀλίγη. νέοι δὲ καὶ οἱ ἐπὶ ἀκμῆς, οὐ μάλα μὲν πάσχουσι, ἀτὰρ οὐδὲ μάλα περιγίγνονται· οὐ γὰρ ἂν πάθοιεν ἐπὶ σμικρῇ φλεγμονῇ· ἐπὶ δὲ τοῖσι μεγάλοισι μείζων ὁ κίνδυνος. παῖδες ἥκιστα νοσέουσι πλευρῖτιν· ἀτὰρ καὶ ἧσσον θνήσκουσι. τάτε γὰρ σώματα μανὰ, καὶ τὰ ὑγρὰ εὔροα, καὶ πολλὴ ἡ διαπνοὴ καὶ ἀποφορή· ὅθεν οὐδὲ μεγάλη ξυνίσταται φλεγμονή. ἥδε τῆς ἡλικίης εὐτυχίη ἐν τῷδε τῷ πάθει.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ, ΠΕΡΙ αἰτίων καὶ σημείων ὀξέων παθῶν, βιβλίον δεύτερον.

Τάδε ἔνεστι ἐν τῷ δευτέρῳ βιβλίῳ.

1. cum evaserit graviora mala 2. separat 3 Costas
effundat
quia Corpora rara humores fluxi perspiratio exhalatio multa
unde . . . contrahatur

ΠΕΡΙ ΠΝΕΥΜΟΝΙΗΣ. κεφ. α.

Rebus duabus praecipue animantia: Vita alim.°, Spiritu

Δ

Τοῖσι δισσοῖσι προφάτοισι, τροφῇ καὶ πνεύματι, τὰ ζῶα ζῇ· τουτέων δὲ πολλὸν ἐπικαιροτέρη, ἀναπνοή. ἢν γὰρ ἐπισχεθῇς ὠυτὴν, οὐκ ἐς μακρὸν διαρκέσει, ἀλλ' αὐτίκα θνήσκει ὤνθρωπος. ὄργανα δὲ μυρία· ἀρχὴ μὲν ῥῖνες, ὁδὸς ἀρτηρίη, χώρη δὲ πνεύμων, θώρηξ δὲ, πνεύμονος ἔρυμα καὶ δοχή. ἀλλὰ τἄλλα μὲν ὅκως ὄργανα μοῦνον διακονέεται τῷ ζώῳ· πνεύμων δὲ καὶ τὴν αἰτίην ἴσχει τῆς ὁλκῆς. ἐνίζει γὰρ αὐτέου μέσον σπλάγχον θερμὸν ἡ καρδίη, ζωῆς καὶ ἀναπνοῆς ἀρχή. ἡ δὲ καὶ τῷ πνεύμονι τῆς ὁλκῆς τοῦ ψυχροῦ ἠέρος τὴν ποθὴν ἐνδιδοῖ. ἐκφλέγει γὰρ αὐτὸν, ἕλκει δὲ καρδίη. προφάτου τοιγαροῦν ἢν μὲν ἡ καρδίη πάθῃ, οὐκ ἐς μακρὰν τοῦ θανάτου ἡ ἀμβολή· ἢν δὲ πνεύμων, ἐπὶ μὲν σμικρῇ τῇ αἰτίῃ, δύσπνοια, ζώει κακῶς, θάνατος μήκιστος, ἢν μήτις ἀκέηται· ἐπὶ δὲ μεγάλῳ πάθεϊ, ὁκοῖον ἡ φλεγμονὴ, πνιγμὸς, ἀφωνίη, ἄπνοια, ὄλεθρος αὐτίκα. ἡ δὲ ἐστὶν, ἣν καλέομεν περιπνευμονίην, φλεγμονὴ τοῦ πνεύμονος, ξὺν ὀξέϊ πυρετῷ, εὖτε ξυνέστιν αὐτέοισι βάρος τοῦ θώρηκος, ἀπονίη, ἢν μοῦνος φλεγμήνῃ πνεύμων. ἄπονος γὰρ ἡ φύσις αὐτέου· μανὸς μὲν γὰρ τὴν οὐσίην, εἰρίοισιν ἴκελος. ἀρτηρίαι δὲ διεληλάκαται τρηχεῖαι, χονδρώδεες, καὶ αἵδε ἄπονοι· μύες δὲ, οὐδαμῆ, σμικρὰ δὲ νεῦρα, λεπτὰ, ἐς κίνησιν ἐπίκαιρα. ἡ δὲ τῆς ἀπονίης αὐτὴ ἡ αἰτίη. ἢν δὲ καί τις τῶν ἀμφ' αὐτὸν ὑμένων ἐπιφλεγμήνῃ, οἷσι πρὸς τὸν θώρηκα προσέρχεται, ξυνέστι καὶ πόνος, ἀναπνοὴ κακὴ, θερμὴ, ἀνακαθίνυσθαι ἐθέλοισι σχῆμα ὄρθιον ἐς ἀναπνοήν. τόδε γὰρ ῥήϊστον τῶν σχημάτων. ἐρυθροὶ τὰ πρόσωπα· ἐπὶ δὲ μᾶλλον τὰ μῆλα· τὰ λευκὰ τῶν ὀφθαλμῶν λαμυρώτατα καὶ πίονα.

Transitus vallum est et receptaculum

(ut) Pulm.

lentetur (v.) eurelur in cura

in quâ subest dolor vacat quoad substantiam 2 pr. cum dissemi nantur 3 quib. Pectori adnect. Pulmo 4 residens recta corp.

humidissimum et pingue Ocul. album

Nasi acumen simum

ῥὶς ἄκρη σιμή, φλέβες ἐν κροτάφοισιν, ἢ καὶ τραχήλῳ διηρμέναι, ἀποσιτίη, σφυγμοὶ τὰ πρῶτα μεγάλοι, κενοί, πυκνότατοι, ὁκοῖόν τι συνεληλαμένοι. θερμασίη ἡ μὲν ἐς τὸ ἔξω, ἀμυδρή, ὑγροτέρη· ἡ δὲ ἐς τὸ ἔνδον, ξηρή, θερμοτάτη· ἐφ' ἧ ἀναπνοὴ θερμή, δίψος, γλώσσης ξηρότης, ἐπιθυμίη ψυχροῦ ἠέρος, γνώμης ἀπορίη, βὴξ ξηρὰ τὰ πολλά. ἢν δέ τι ἀνάγηται, φλέγμα ἀφρῶδες, ἢ ὑπόχολον κατακορές, ἢ δίαιμον ἀνθηρὸν σφόδρα· τὸ δὲ ἐπὶ τὸ δίαιμον τῶν ἄλλων κάκιον· ἢν δὲ ἐπὶ τὸ θανατῶδες ἐπιδιδοῖ, ἀγρυπνίη, ὕπνοι σμικροί, νωθροί, κωματώδεες, φαντασίαι ἀξύνετοι, παράληροι τὴν γνώμην, ἐκστατικοὶ οὐ μάλα, ἀγνωσίη τῶν παρεόντων κακῶν. ἢν γοῦν ἐπανέρῃ περὶ τῆς νούσου, οὐδὲν ὁμολογέουσι δεινόν· ἄκρα ψυχρά, ὄνυχες πελιδνοί· ἄγρυπνοι· σφυγμοὶ μικροί, πυκνότατοι, ἐκλείποντες, οὗ τε ἄγχου τουτέου ὄλεθρος. ἑβδομαῖοι γὰρ τὸ πλέον θνήσκουσιν· ἢν δέ κοτε ἐπαναφέρῃ ἡ νοῦσος, καί τι ἐς ἀγαθὸν ῥέπῃ δὲ, αἱμορραγίη λάβρως ἐκ ῥινῶν, κοιλίῃ ἐκτάραξις πολλῶν χολωδέων, ἐπάφρων, οἷα δοκέειν ἀπὸ πνεύμονος εἰς τὴν νειαιρὴν γαστέρα ἐξεῶσθαι, ἢν ἀγάγῃ πολλὸν ὑγρότερον ῥηϊδίως. ἔστι δὲ ὅτε καὶ ἐς οὖρα ἐτράπετο. ὁκόσοισι δὲ πάντα ὁμοῦ ξυμπίπτει, οἵδε ὀξύτατοι ῥηΐζουσι· μετεξετέροισι δὲ πύος πολλὸν γίγνεται ἐν πνεύμονι, ἢ μετάστασις ἀπὸ τοῦ πλευρέου, ἢν μέζον τὸ ἀγαθὸν ὑπογίγνηται· κἢν μὲν ἐς ἔντερον, ἢ κύστιν τὸ ἀπὸ τῆς πλευρῆς παροχετευθῇ πύος, ἐς μὲν τὰ παραυτίκα ἐρήϊσαν ἀπὸ τῆς περιπνευμονίης· ἕλκος δὲ μακροχρόνιον ἴσχουσιν ἐν πλευρῇ· ἀλλὰ περιγίγνεται. ἢν δὲ ἐς τὸν πνεύμονα ὁρμήσῃ τὸ πύος, εἰσὶν οἳ ἀποπνίγονται, τῇ τε ἀθρόῃ ἐκχύσει, τῇ τε ἀναγωγῆς ἀπορίῃ· ὁκόσοι δὲ διαδιδράσκουσι τὴν ἐκ τῆς ἀπορρήξεως πνῖγα, ἕλκος οἵδε πολλὸν ἴσχουσι ἐν πνεύμονι, καὶ ἐς φθόην μεθίστανται. τῇ ἀπὸ μὲν τῆς ἀποστάσιος καὶ τῆς φθόης γέροντες οὐ πάνυ τοι περιγίγνονται· ἀπὸ δὲ τῆς περιπνευμονίης, νέοι τε ἀκμάζοντες.

13. raro convalescunt

ΠΕΡΙ ΑΙΜΑΤΟΣ ΑΝΑΓΩΓΗΣ, κεφ. β.

Αἵματος φορῆς τῆς διὰ στόματος, ἰδέαι δύο· ἡ μὲν ἀπὸ στόματος, καὶ κεφαλῆς, καὶ τῶν τῇδε ἀγγείων· ὁδὸς δὲ, ὑπερῴη, φαρύγγεθρον, ἔνθα καὶ ἀρχαὶ στομάχου καὶ ἀρτηρίης. ἀναχρέμψει δὲ καὶ βηχὶ σμικρῇ καὶ προχειροτέρῃ ἐς τὸ στόμα ἀπροβλύζονται τὸ αἷμα, ὥς τιγε ἀπὸ στόματος. οὐδὲ ἀνάχρεμψις παρομαρτεῖ, ἔμπλυσις ἥδε καλέεται. ἐπὶ δὲ μᾶλλον ἢν βραχέη τοῦ αἵματος, καὶ στάγδην καὶ ἀθρόον ἀπὸ τῆς κεφαλῆς, ἢ ἀπὸ τοῦ στόματος ἔῃ, οὔ κοτε ἀναγωγὴ καλέεται, ἀλλ' ἢ τὸ αὐτὸ, ἢ πλύσις, ἢ αἱμορραγίη. ἢν δὲ νέρθεν ἀνίῃ ἀπὸ θώρηκος καὶ τῶν τῇδε σπλάγχνων, πνεύμονος, τραχείης ἀρτηρίης, τῶν περὶ τὴν ῥάχιν, ἢ ἀπὸ τουτέων φορὴ, οὐ πλύσις, ἀλλ' ἀναγωγὴ καλέεται, τῆς ἀνωΐξιος τῆς ὁδοῦ τοὔνομα ἔχουσα. σημεῖα δ' ἀμφοῖν, τὰ μὲν ξυνὰ, σμικρὰ καὶ παῦρα, ὁκόσα καὶ τὸ χωρίον, ἔνθα καὶ ἀναγωγῆς καὶ πλύσιος ἡ ξυναγωγή· τὰ δὲ ἑκάστης ἴδια μεγάλα καὶ πολλὰ, καὶ ἐπίκαιρα, οἷσιν ἑκατέρην ῥηΐδιον διαγνῶναι. ἢν οὖν ἀπὸ κεφαλῆς ἔῃ, ἐπὶ μὲν πολλῷ τῷ αἵματι, μέζω καὶ πλέω τὰ παρεόντα· σμικρὰ δὲ, ἐν ὀλίγῃ καὶ σμικρῇ τῇ πλύσι· βάρος αὐτέοισι, πόνος, ὤτων ἦχοι, ἐρύθημα προσώπου, φλεβῶν διαστάσιες, σκοτόδινος καὶ περὶ τούτων δὲ, ἡ αἰτίη εὔσημος, πληγὴ, ψύξιες, ἐγκαύσιες, οἰνοφλυγίη· ἥδε γὰρ ἀθρόον πίμπλησι τὴν κεφαλὴν, ἀθρόον καὶ ἐκχέει ἐκραγέντος ἀγγείου· ἐπὶ δὲ σμικρῇ μέθῃ, πλύσιες ἐξ ἀραιώσιος. γίνεταί ποτε διὰ ῥινῶν αἱμορραγίη ξυνήθης· ἐς ὑπερῴην δὲ τρεπομένη, ἀναγωγῆς φαντασίην παρέχει. ἢν οὖν ἀπὸ κεφαλῆς ἔῃ, γαργαλισμὸς ὑπερῴης, ἀνάχρεμψις πυκνὴ, καὶ ἐπὶ τῇδε ἡ πλύσις βύζεται· θυμὸς ἐγγίνεται, καὶ εὖ μάλα βήσσουσι· ἢν δὲ ἐς τὴν ἀρτηρίην ἀπὸ τῆς ὑπερῴης ἐκρυῇ, τότε βήσσοντες ἀνάγουσι· καὶ ἥδε ἐστὶν ἡ ἀπάτη τοῖσι ἡγευμένοισι ἀπὸ σπλάγχνων τῶν κάτωθεν ἀνάγεσθαι· ἐρέει δὲ καὶ

ἐς τὴν

Fauces
exscreat:
eructatur
quaeq. ad mod.
ex ore sup.:
neq. exscreat.
2. si proflu-
at maj. copia
3. ex internis
part.
4. q. sang.
5. Vias su-
per. scratur
5. pauca
6. quib. utraq
spec. nosci
7. implet &
deplet vasa
... vi-
num

1 Vena ... 2. sistitur usitatus
cursus 3. violentia pro-
rumpit

ἐς τὸν στόμαχον ἀπὸ τῆς κεφαλῆς, οὔτε ξὺν αὐτῇ ἐμέουσι· ἔστι δὲ καὶ ἥδε ἀπάτη, ὡς ἀπὸ στομάχου φέρεσθαι δοκέειν. ἢν δὲ τὸ ἀπὸ τῆς πλύσιος αἷμα, παχὺ μὲν οὐ κάρτα, χροιῇ δὲ μέλαν, λεῖον, ὁμαλὸν, ἀμιγὲς ἑτέρης οὐσίης. χρεμπτομένοισι γὰρ εὐθὺς ἐπὶ τὴν γλῶσσαν ἔρχεται στρογγύλον, ῥηϊδίως ἀπολυόμενον· ἢν δὲ καὶ τὴν ὑπερῴην καθορέῃς, δασυτέρην, καὶ ἑλκώδεα ὄψεαι, καὶ τὰ πολλὰ ὕφαιμον· ἰητρείη δὲ ἀρκέσει ἁπλῆ, σμικρή, σύμματα μὲν ἐς τὴν ὑπερῴην, καὶ τάδε ψυχρά. ἐπὶ γὰρ τοῖσι θερμαίνουσι, καὶ τοῖσι ἀραιοῦσι καὶ εὐρύνουσι, ἡ φορὴ μέζων· καὶ τόδε τὸ τεκμὴρ, τῆς ἀπὸ τῆς κεφαλῆς πλύσιος· ἐς δὲ τὴν κεφαλὴν, κενώσιες, ἢ διὰ φλεβῶν, ἢ διὰ ῥινέων, ἢ δι' ἑτέρης διαπνοῆς. καὶ τάδε χρὴ ταχέως δρῇν. ἢν γὰρ τὸ αἷμα ἐπὶ πολλὸν χρόνον ἴῃ, μηκέτι μὲν ἐγγίνεται τῇ φορῇ· ἔθος δὲ τοῖσι τῇδε χωρέοισι ἐς ὑποδέξιν τοῦ αἵματος· ἑλκοῦται δὲ καὶ ἀρτηρίη, καὶ βήσσουσι αὐτὴ τῆς χρέμψιος. τοὐντεῦθεν δὲ φορῆς γίγνεται ἡ ἀρχή· ἡ δὲ ἀπὸ θώρηκος καὶ τῶν νέρθεν σπλάγχνων αἵματος φορὴ ἀναγωγὴ καλέεται· ἔστι δὲ κάρτα μὲν ὀλεθρίη, ἢν ἀπὸ τούτων ἐπικαίρων ἐκραγέντων ἔῃ, ἢ κοίλης φλεβὸς τῆς ἐν καρδίῃ, ἀπὸ τοῦ ἥπατος διακονευμένης τὸ αἷμα, ἢ τῆς τῇ ῥάχι ὑποτεταμένης παχέης ἀρτηρίης. αἱμορραγίη γὰρ ὅκως περ ἐν σφαγῇ καὶ διαπνοῇ, ὤκιστος ὄλεθρος· οἷσι δὲ ἀπὸ πνεύμονος ἢ πλευρῆς, ἢ ἀρτηρίης τῆς βρογχίης, ἧσσον μὲν ὀξέως θνήσκουσι, οὐχ ἥκιστα δὲ ἔμπυοι καὶ φθίσιες γίγνονται· τουτέων δὲ ἀσθενεστέρη, ἡ ἀπὸ τῆς βρογχίης ἀρτηρίης· ἢν δὲ ἀπὸ στομάχου, ἢ κοιλίης ἐμέηται, οὔτε κάρτα ὀλεθρίως ἴσχουσι, κἢν πάνυ πολλὴ αἱμορραγίη ἔῃ, οὔτε ἡ διάθεσις μακρὴ καὶ ποικίλη· ἢν δὲ ἀπὸ ἥπατος καὶ σπληνὸς, οὐ ῥηϊδίη μὲν, οὐδὲ ξυνεχής· ἐς γὰρ τὴν κοιλίην καὶ ἔντερα ἐκ τουτέων ἡ ἀπόκρισις ἑτοιμοτέρη. οὐ μὴν οὐδὲ ἡ ἄνωθεν διὰ πνεύμονος καὶ ἀρτηρίης, ἀδύνατος ἢ ἄπιστος. καὶ γὰρ ἐν πυρετοῖς, ἀπὸ σπληνὸς καὶ ἥπατος διὰ ῥινῶν αἱμορραγέουσι, καὶ ἴξιν τοῦ σπλάγ-

χρόνου τοῦ μυκτῆρος ῥέοντος. τόποι μὲν οὖν ἀφ' ὧν περ ἡ ἀγωγή, οἵδε· καὶ ἡ ἐς κίνδυνον ἢ ὄλεθρον διαφορή· οἱ δὲ τρόποι τρεῖς ἔασι· ἢ γὰρ ἀπὸ ῥήξιος ἀγγείου, ἢ διαβρώσιος, ἢ ἀραιώσιος ἀνάγεται. ῥήγνυται μὲν οὖν ἐξαπιναίως, ἢ πληγῇ, ἢ ἐντάσι ἄχθεος, ἢ ἀναθέσι, ἢ ἀπὸ ὕψους ἅλματι, ἢ καὶ βοῇ, καὶ ὀργῇ μεγάλῃ, ἤ τευ ἄλλῃ ὁμοίῃ αἰτίῃ, εὖτε αὐτίκα ἐπὶ τῇ ἀρτηρείᾳ λάβρως τὸ αἷμα ἐκχέεται· ἢν δὲ ἀπὸ βρώσιος, χρὴ ἐπανερωτᾷν, εἰ κοτὲ πρόσθεν ἔβηξε ὥνθρωπος, ἢ δύσπνους γέγονε, ἢ ναυτίη, ἢ ἔμετος ἔσχε πάρος. ἐκ γὰρ τῶνδε πολυχρονίων διεσθίεται τὰ ἀγγεῖα ῥεύματι ξυνεχεῖ, καὶ πολλῷ καὶ δριμεῖ. ἐπὴν οὖν πολλὸν ξυντακέντα, καὶ λεπτυνθέντα ἐς τέλος ἀπαναλωθῇ τὰ ἀμπέχοντα ὑμένια, τὸ αἷμα ἐκχέει· ἡ δὲ ἐξαραίωσις, ἀρραγὴς μέν, διὰ τόδε οὔτε πολλή, οὔτε ἀθρόη, οὔτε παχέος αἵματος· ἀραιώσι δὲ τῶν ἀγγείων, τὸ λεπτὸν ἀποπιθέεται· ἢν δὲ πολλὸν αὐλισθὲν ἐν κοίλῃ χώρῃ αὖθις ἀνάγηται, παχύτερον μὲν ἑωυτοῦ γίγνεται, οὐ μὴν παχὺ κάρτα, οὐδὲ μέλαν, ὁκοῖον αἱμάλωψ· πλεῖον δὲ τῷ πλήθεϊ, ὡς ἀπὸ ἀθροίσιος. οἷσι δ' εὐθὺς ἀναφέροιτο τόδε τὸ εἶδος τῆς ἀγωγῆς, γυναιξὶ ὡς ἐπίπαν, οὐ καθαιρομένῃσι, τάδε ἐπιμήνια γίγνεται, καὶ ἐν τῇσι αὐτῇσι περιόδοισι τῆς καθάρσιος ἐπιφαίνεται, καὶ ἐπὶ τῇσι προθεσμίῃσι τῆς ἀποπαύσιος ἴσχεται· κἢν μὴ ἴηθῇ ἡ γυνή, ἐς πολλὰς περιόδους αἰεὶ περίεισι ἡ ἀναγωγή· μετεξετέρῃσι δὲ καὶ ἀπερράγη τὰ ἀγγεῖα τῷ πλήθεϊ. δὲ ἡ διαφορὴ τῆς ἀναγωγῆς, καὶ εἰ ἐξ ἀρτηρίης, ἢ φλεβὸς ἀνάγοιτο. μέλαν μὲν γὰρ καὶ παχύ, καὶ ῥηϊδίως πηγνύμενον, ἢν ἀπὸ φλεβός, καὶ ἧσσον ἐς κίνδυνον ῥέπει, καὶ ἐπίσχεται θᾶσσον· ἢν δὲ ἀπ' ἀρτηρίης, ξανθὸν καὶ λεπτόν, καὶ οὐ μάλα πήγνυται, καὶ ὁ κίνδυνος ὠκύτερος, καὶ ἡ ἐπίσχεσις οὐ μάλα ῥηϊδίη. αἱ γὰρ διασφύξιες τῆς ἀρτηρίης, αἱμορραγίης πρόκλησιν ποιέονται, καὶ τὸ τρῶμα οὐ συμφέρει τῇ πολυκινησίῃ. ἄλθεξις δέ, ἢν μὲν ἀπὸ διαβρώσιος κακόν, καὶ οὐ ῥηϊδίη, καὶ σφαλερή· ὑπὸ γὰρ ἐλλείψεως ἐς σύμφυσιν τὸ ἕλκος οὐκ

interrogando numquam

Membranula valde consumpta, extenuata tandem erosa sanguis effunditur.

Quod vasa rara facta non rumpuntur.

disrumpuntur vasa

Pulsatio

Propter defectum Partis exesae Ulcus ad Contactum non perducitur.

ἀφικνέεται· ἕλκος γάρ, οὐ βρῶμα γίγνεται· ἐπὶ δὲ τῇσι ῥήξεσι ἡ σύμφυσις ἑτοιμοτέρη. ψαύουσι γὰρ ἀλλήλων τοῦ βρώματος τὰ χείλεα· ἔστι δὲ ὧν ἡ διαφορὴ δευτέρη ἐς κίνδυνον. ἀσινεστάτη δέ, ἡ ἐπὶ τῇσι ἀραιώσεσι· ἴσχεται γὰρ αὐτομάτως, καὶ ἰητρείης σύψις, καὶ ἔκψυξις ἱκανή. σημαντέοι δὲ καὶ οἱ τόποι, ἀφ' ὧν περ ἀνάγεται. ξυνὰ γὰρ πολλὰ σημεῖα, καὶ ἡ ἀπάτη ῥηϊδίη, καὶ ἰητρείη ἑτέρη. ἀπὸ στομάχου μὲν οὖν οὔτε λίην ἐξ ἀραιώσιος ἀνάγεται. ἡ γὰρ τῶν βρωμάτων τε καὶ τῶν πομάτων ψύξις τε καὶ σύψις ἐς πύκνωσιν ἄγει τὰ μέρεα. ἀτὰρ οὐδὲ διαβρώσιες ξυνεχέες εἰσί, καὶ μᾶλλον τῆς περιτέρης· τὰ γὰρ ἀναδάκνοντα τῶν ῥευμάτων, οὐ περιΐσχεται πολλὸν χρόνον· ἀλλ' ἢ ἀπεπλύθη, ἢ διηλάθη κάτω. ξυνηθεστέρη δὲ στομάχῳ ἐστὶν ἡ ῥῆξις. εἰ οὖν ἀποῤῥαγῇ ποτε, αἱμοῤῥαγίαι οὐ κάρτα μεγάλαι, ὁκοῖαι ἀπὸ θώρηκος. ἰσχνὰ γὰρ τῇδε τὰ φλέβια· σμικραὶ δὲ καὶ ἀρτηρίαι· ἰδέῃ δὲ τὸ αἷμα οὐ κάρτα μέλαν, ὑπόξανθον, οὐ κατακορέως λεῖον, ἢ σιάλοισι μεμιγμένον, ξὺν ναυτίῃ καὶ ἐμέτῳ ἀναφερόμενον· βὴξ μικρή, ἄλλοτε μὲν ξύν τῳ, ἄλλοτε δὲ μούνη ἀλλόθεν ἀναγωγῆς. ξυνταλαιπωρέει γὰρ ἡ ἀρτηρίη τῷ στομάχῳ, περιτεταμένη καὶ ξυνημμένη· δῆξις, ἢ σύψις τοῦ ἕλκεος ἐπὶ τοῖσι καταπινομένοισι· πολλὸν δὲ μᾶλλον, ἢν ψυχρὰ κάρτα ἢ θερμά, ἢ στρυφνὰ ἔῃ· ἐγγίγνεται δὲ καὶ πόνος τοῦ στομάχου μετεξετέροισι· οἱ δὲ μέσφι μεταφρένου ἔμετοι, φλεγματώδεες· ἐπαναφέροισι δέ ποτε, ἐπὴν ἐς μῆκος ἡ νοῦσος ἐπιταθῇ, καὶ μέζων ἔῃ τουτέων ἀποσιτίη, πλῆθος πολύ· πυρετοὶ οὐ μάλα ξυνεχέες, ἀλλὰ ῥεμβώδεες. ἀπὸ δὲ κοιλίης ἀνάγοιτο μὲν ἂν καὶ πηγνύμενον, κἢν ἀπὸ ἀρτηρίης ἦ· ἢν δὲ ἀπὸ φλεβός, πολλὸν μελάντερον, πολλὸν δὲ καὶ παγετώτερον· ναυτίη πολλὴ καὶ ἔμετος φλεγμάτων καὶ χολωδέων, τοῖσι σιτίοισι συμμιγνύμενον τὸ αἷμα, κἢν περιβεβρωκὴς ὤνθρωπος. ἐν γὰρ τῇ αὐτῇ χώρῃ ἄμφω ἅμα ἀλίζεται καὶ ἡ τροφὴ καὶ τὸ αἷμα. ἐξερεύξιες πολλαί, βρομώδεες· κἢν μὲν πολ-

Pericul minimum
vix
ad densitatem
una laborat
adhaerescens
1. morsus
2 acerba
3. effundunt
4. pituitosa multa
5. vage
6 non multo quanto comederit

si evomatur relevantur sed languent

λὴ, ξυλλογὴ, ἀπορίη, σκοτόδινος· ἢν δὲ ἐμεθῇ, τάδε, ῥηΐζουσι, ἔ-
κλυτοι, καυσώδεες τὸ σύμπαν, πόνος ξυνεχὴς τῆς κοιλίης. ἀπὸ
δὲ τῆς τρηχείης ἀρτηρίης, μικρὸν καὶ σφόδρα ξανθὸν τὸ αἷ-
μα καὶ ξὺν βηχὶ ἀνάγουσι· κἢν μὴ ἀνάγωσι δὲ, διηνεκέως βήσ-
σουσι· αἴσθησις δὲ καὶ πόνος, ἔνθα ὁ βρόγχος, μικρόν τι νέρθεν ἢ
ὕπερθεν· φωνὴ βραγχώδεες, ἀσαφέες. ἢν δὲ ἀπὸ πνεύμονος
ᾖ, ἀθρόως ἡ ἀναγωγὴ, ἔτι δὲ μᾶλλον, εἰ ἐκ διαβρώσιος. ξὺν
βηχὶ πολλῇ ξανθὸν κατακορέως, ἀφρῶδες, στρογγύλον, ὡς
ἄλλην ἄλλης ἀναγωγὴν διακεκρίσθαι. ἀτὰρ καὶ ἡ ἐν ξυναγγείῳ
φθορὴ τοῦ θώρηκος ἀναγομένων, ἀλλ' ἢν διαστήσαις ἂν τὰ ξυμ-
μεμιγμένα ὡς ἐκ παραθέσιος, ὡς ὄντα μέρεα θώρηκος· τὰ δ'
ἰδέην σαρκοειδέα δοκοίης ἂν πνεύμονος ἔμμεναι μέρεα.
θώρηκος βάρος, ἀπονίη, ἐρύθημα προσώπου πολλόν τι μᾶλ-
λον τουτέοισι· ἢν δὲ ἀπὸ θώρηκος καταπίνῃ, ἐς τὸ πρόσθεν
κατὰ τὸ στέρνον πόνος διασημαίνει τοῦ τρωθέντος μέρεος· βὴξ σὺν
τόνῳ καὶ μόλις ἀνάγουσα. τὸ δὲ αἷμα ξανθὸν οὐ κάρτα, μέ-
σως παχὺ, ἄναφρον. ἢν δὲ καὶ πνεύμων ἐκ τῆς παρόδου ξυμ-
παθήσῃ, προσδίδοι τοῦ ἀφρώδεος. ὁδὸς γὰρ θώρηκος ἐς ἀρ-
τηρίην πνεύμων. ἢν δὲ ἀπὸ πλευρῆς, ξὺν βηχὶ μὲν, μέλαν δὲ
καὶ λεῖον, κακόδμον, βρομῶδες, ὁκοῖον τῆς σηπεδόνος, πόνος
τῆς πλευρῆς ὀξύς. πολλοὶ γοῦν θνήσκουσι πλευριτικὸν τρόπον
ξὺν πυρετῷ. ὥρη δὲ φέρει, ὑγρὴ καὶ θερμή· τοῖον δὲ τὸ ὑγρὸν καὶ θερ-
μὸν ἔαρ· δεύτερον τὸ θέρος, μετόπωρον ἧσσον, χειμὼν δὲ ἥκιστα.
θνήσκουσι δὲ, θέρεος μὲν μάλιστα αἱμορραγίῃ. φλεγμοναὶ γὰρ
οὐ κάρτα μεγάλαι γίγνονται τότε· ἔαρος δεύτερον, φλεγμονῇ καὶ
πυρετοῖσι καυσώδεσι· φθινοπώρῳ δὲ, ὡς ἐπίπαν ῥηϊδίως φθό-
αι γίγνονται· ἀθρόον δὲ ἐρρῆχθαι, ἐπὶ πάσῃ αἵματος ἀναγωγῇ, κἢν
μικρὴ ἔῃ, κἢν ἤδη μεμύκῃ τὰ ἐρραγέντα, ἕπεται δυσθυμίη, δυσελ-
πιστίη, ἀπογνῶσι τοῦ βίου. τίς γὰρ οὕτως εὐσταθὴς, ὡς ὁρῶν μὲν
ἑωυτὸν σταγῇ ἴκελον πεπονθότα, μὴ ὀρρωδέειν δὲ ἀμφὶ θα-

saturat
ita ut alia ab alia differat
rej.? [illegible] in [illegible] vaso
1. separatio post quadam
2. ex appositione
3. profusio
4 assidua
licet partes coierint
5 constantis animi q.? ?
6. nec pertimescat

θανάτου. καὶ γὰρ τὰ μέζω τῶν ζώων, καὶ τὰ ἀλκιμώτερα, ὁκοῖον οἱ ταῦροι, αἱμορραγίῃ θνήσκουσι ὤκιστα. ἀλλὰ τόδε μὲν οὐ μέγα τὸ θῶυμα· θῶυμα δὲ μέγα τόδε. ἐπὶ γὰρ τῇ ἀπὸ πνεύμονος φορῇ μούνῃ χαλεπωτάτῃ ἐούσῃ, οὐκ ἀπογιγνώσκουσι ἑωυτῶν οἱ ἄνθρωποι, κἢν ἐν τῷ ἐσχάτῳ ἔωσι. δοκέω δὲ ἔγωγε τῆς τοῦ πνεύμονος ἀπονίην αἰτίην ἔμμεναι· πόνος γὰρ κἢν σμικρὸς ἔῃ, θάνατον ὀρρωδέει· καὶ ἔστι ἐν τοῖσι πλείοσι φοβερώτερος ἢ κακίων· ἀπονίη δὲ τὰ ἐν τοῖσι μεγάλοισι κακοῖσι, ἀφοβίη θανάτου, καὶ ἔστι κακίων ἢ φοβερωτέρη.

non desperent

magis experientur quam ...

id mali magis perniciosum quam

ΠΕΡΙ ΣΥΓΚΟΠΗΣ κεφ. γ΄.

Εἴγε ὅλως ὁ ἰητρὸς, ἤδε ὁ δημότης, οὔγε ἐπικλήσιος τοῦδε τοῦ πάθεος ὦ κύφων, οὐ κακοῦ ἐστὶ οὔνομα. τὸ μὲν γὰρ μέζον, ἢ ὠκύτερον συγκοπῆς δυνάμιος· τὸ δὲ οὔνομα ἕτερον εἰς ἐπίκλησιν τοῦδε τοῦ πρήγματος μᾶλλον εὔσημον· τὸ δὲ καρδίης ἄλλο καιριώτερον ἐς ζωὴν, ἢ ἐς θάνατον· οὐδὲ τὴν συγκοπὴν ἄπιστον τῆς καρδίης νοῦσον ἔμμεναι, ἢ αὐτῆς τινος τῆς ἐν αὐτέῃ τοῦ ζῆν δυνάμιος· τόσον τὸ τάχος τοῦ ὀλέθρου, τοιόνδε καὶ ἰδέῃ. ἔστι γὰρ τὸ πάθος, λύσις τῶν δεσμῶν τῆς εἰς ζωὴν δυνάμιος, ἀντίξοον τῇ συστάσει τοῦ ἀνθρώπου ἐόν. τῆς δὲ γὰρ ἀτρὶξ λειβόμενον, οὐ μεθίησι, ἀλλ' ἐς διάλυσιν ῥέπει· καὶ οὐ μέγα τὸ θῶυμα. καὶ γὰρ καὶ ἕτερα πάθεα ἴδια, καὶ ἐπίκαιρα τῶν μερέων ἐστὶ, οἷσι περ ἐμφύνῃ, καὶ τουτέων ἐξάπτεται· βουβῶνες μὲν οἱ λοιμώδεες ἥπατος, τὰ σφόδρα κακοήθεες, ἐξ ἄλλου δὲ γίγνονται οὐδενός. νεύρων δὲ τέτανος, ἐπιληψίη δὲ κεφαλῆς. τῶνδε οὖν καὶ ἡ συγκοπὴ καρδίης ἐστὶ καὶ ζωῆς νοῦσος. ὁκόσοι δὲ στομάχου ἡγέονται τὸ πάθος ἔμμεναι, οὕνεκα σιτίοισί τε καὶ οἴνῳ, μετεξετέροισι δὲ καὶ ψυχρῷ, ἡ δύναμις ἐτάθη, καὶ τὸ κακὸν ἐξελάθη, οἱ δέ μοι δοκέουσι καὶ τὴν φρενῖτιν τειχῶν τῆς κε-

bene

quia celerrime accidit nomen mali est.

detrimentum facult. vit.

humanae constitutioni plane adversari

2 dimittit

3. inascuntur

4. attingunt

vires ... et malum sit

depulsum

quia detondendis perfundendisq. Crinibus relevantur

φαλῆς, καὶ τοῦ δέρματος νοῦσον ἡγέεσθαι, οὕνεκεν κουρῇ καὶ τέγξι αὐτέων ῥηΐζουσι οἱ φρενιτικοί. ἀλλὰ γὰρ τῆς καρδίης γειτόνημα καίριόν ἐστι ὁ στόμαχος, ἐξ οὗ γὰρ ἕλκει ἡ καρδίη οἰκεῖον ἢ ἀξύμφορον. καὶ γὰρ καὶ διὰ πνεύμονος ἕλκει πνεῦμα εἰς ἀνάπνοιην ἡ καρδίη, ἀλλ' οὐχὶ πνεύμων ἐξ ἴσης ἀρχῆς ἀναπνέει. οὐ γὰρ ἐν τοῖσι ὀργάνοισι αἱ δυνάμιες, ἀλλ' ἔνθα ἀρχὴ ζωῆς ἐστι καὶ ἰσχύος. στόμαχος δὲ, οὔτε ἀρχὴ, οὔτε χωρίον ζωῆς· βλαβήσεται δέ τις διὰ ἀτονίην. καὶ γὰρ καὶ τὰ καρδιοβόλα βρώματα, οὐ τὸν στόμαχον σίνεται, ἀλλὰ δι' αὐτέου τὴν καρδίην· ἐπεὶ καὶ οἱ ἐπὶ τοῖσδε θνήσκοντες, σημεῖα ἴσχουσι καρδίης πάθεος, σφυγμοὺς μικροὺς, ἀδρανέας, πάταγον τῆς καρδίης, ἐπὶ πηδήσι καρτερῇ· σκοτόδινος, λειποθυμίη, νάρκη, καὶ παρέσιες μελέων, ἱδρὼς ἄσχετος πουλὺς, ψύξις, ὅλου ἀναισθησίη, ἀφωνίη. πῶς δὴ τὸν στόμαχον πάσχειν τάδε· ἅττα δὲ αὐτέου ἴδια; ναυτίη, ἔμετος, ἀποσιτίη, λύγξ, ἐρεύξιες, ὀξυρεγμίη· ἐπὶ δὲ τοῖσι καρδιώσσουσι, καὶ αἰσθήσι ὀξύτεροι, ὡς ἰδεῖν καὶ ἀκοῦσαι μᾶλλον ἢ πρόσθεν· καὶ γνώμῃ εὐσταθέστεροι, καὶ ψυχῇ καθαρώτεροι, καὶ τάδε οὐκ εἰς τὰ παρεόντα μοῦνον, καὶ ἐς τὰ μέλλοντα μάντιες ἀτρεκέες. μὴ οὖν καὶ αἵδε στομάχου αἱ δυνάμιες, ἀλλὰ καρδίης· ἔνθα καὶ ἡ ψυχὴ, καὶ ἡ φύσις αὐτέης ἦν, εἰς ἣν καὶ τὸ πάθος ἢ τῶν τῇσδε δυναμίων. ἔστι δὲ ἧς τῆς νόσου ἥδε ἡ ἔκλισις τοῦ τόνου τῆς φύσιος ἐπ' αἰτίῃ ψύξι καὶ ὑγρότητι. καὶ γὰρ ἄθερμοι, καὶ τὰ εἴσω καὶ τὰ ἔξω, καὶ ἄδιψοι, καὶ ψυχρὸν ἀναπνέουσι, κἢν ἐκ μεγάλων καὶ καυσωδέων ἐστὶ πυρετῶν, ἐξ ὧν γὰρ ἐξάπτεται ἡ ξυγκοπή. εὖτε μὲν γὰρ ἔρρωται ἡ φύσις, καὶ ἐστὶν εὔκρατος, πάντων μὲν κρατέει, πᾶσι δὲ σημαίνει, καὶ ἰσχῷ, καὶ πνεύματι, καὶ στερεοῖσι, καὶ τῇ τούτων εὐταξίῃ, καὶ ξυμμετρίῃ, ἐς ζωὴν διέπει τὸν ἄνθρωπον· ἢν δὲ τῆς φύσιος ὁ δεσμὸς, τουτέστι ὁ τόνος λυθῇ, τότε γίγνεται τὸ πάθος. κατάρχει δὲ αὐτέου, καῦσος, ὅς ἐστι τοιόσδε.

ΠΕΡΙ ΚΑΥΣΩΝ. κεφ. δ.

Πῦρ μὲν πάντῃ καὶ δριμὺ καὶ λεπτόν· μάλιστα δὲ τὰ εἴσω. ἀναπνοὴ θερμή, ὡς ἐκ πυρὸς· ἠέρος ὁλκὴ μεγάλη, ψυχροῦ ἐπιθυμίη, γλώσσης ξηρότης, αὐασμὸς χειλέων καὶ δέρματος, ἄκρεα ψυχρά, οὖρα χολόβαφα κατακορέως, ἀγρυπνίη, σφυγμοὶ πυκνοί, σμικροί, ἔκλυτοι· ὀφθαλμοὶ διαυγέες, λαμπροί, ὑπέρυθροι· προσώπου εὐχροίη. ἢν δὲ ἐπὶ μᾶλλον αὔξῃ τὸ πάθος, μέζω τὰ πάντα καὶ κακίω· σφυγμοὶ σμικρότατοι καὶ πυκνότατοι, πῦρ ξηρότατον καὶ δριμύτατον, γνώμη παράφορος, πάντων ἀγνωσίη, διψώδεες, ψαῦσαι ψυχροῦ ἐπιθυμίη, τοίχου, ἐσθῆτος, ἐδάφεος, ὕδατος· χεῖρες ψυχραί, θέναρα θερμότατα, ὄνυχες πελιδνοί, ἀνάπνοια πυκνή, νοτὶς περὶ μέτωπα καὶ κληῗδας. ἢν δὲ ἐς ἄκρον ξηρότητος καὶ θερμασίης ἥκῃ ἡ φύσις, τὸ μὲν θερμὸν ἐς ψυχρόν, ὁ δὲ αὐχμὸς ἐς ἐπομβρίην τρέπεται. αἱ γὰρ τῶν χρημάτων ἐς τὸ ἔσχατον ἐπιτάσιες, ἐς τὴν ἐναντίην μεταβάλλουσι ἰδέην. ἐπὴν οὖν λυθῇ τῆς φύσιος τὰ δεσμά· τόδε ἐστὶ ἡ συγκοπή· τό τε ἱδρὼς ἄσχετος πάντῃ τοῦ σώματος, ἀνάπνοια ψυχρή, ἀτμὸς ἀνὰ ῥῖνας πουλύς, ἄδιψοι. ἐξήρανται γὰρ τἄλλα· ἀτὰρ καὶ τὰ ἄλλα δὴ ψαλέα ὄργανα, στόμα, στόμαχος· οὖρα λεπτά, ὑδατώδεα· κοιλίη τὰ πολλὰ μὲν ξηρή, ἔστι δὲ καὶ οἷσι ὑποφέρει βραχέα χολώδεα, πουλὺς πλάδος. διαρρέει δὲ καὶ τὰ ὀστέα λυόμενα· καὶ ἀπὸ πάντων ὡς ἐν ποταμῷ ἐς τὰ ἔξω ἡ φορή· ψυχῆς κατάστασις, αἴσθησις σύμπασα καθαρή, διάνοια λεπτή, γνώμη μαντική. προγινώσκουσι μὲν οὖν προτίστα μὲν ὠυτέοισι τοῦ βίου τὴν μεταλλαγήν· ἔπειτα τοῖσι παρεοῦσι προλέγουσι τὰ αὖθις ἐσόμενα. οἱ δὲ αὐτέους μὲν ἔσθ' ὅτε, καὶ ἄλλο φασὶ δοκέουσι· τῇ ἀποβάσει δὲ τῶν εἰρημένων θωυμάζουσι ὤνθρωποι. μετεξέτεροι δὲ καὶ προσλαλέουσι τῶν κατοιχομένων τισί, τάχα μὲν παρεόντας ὁρέοντες αὐτοὶ μοῦνοι, ὑπὸ λεπτῆς καὶ καθαρῆς

forte αἰσθήσιος. τάχα δ' αὐτῆς τῆς ψυχῆς προγιγνωσκούσης, καὶ διηγευμένης τοὺς ἄνδρας οἷσι ξυνέσονται. πρόσθεν μὲν γὰρ ἐν ἰλύϊ τοῖσιν ὑγροῖσιν ἔσω καὶ ζόφῳ· ἐπεὶ δὲ τάδε ἐξελώτλησε ἡ νοῦσος, καὶ ἀπὸ τῶν ὀφθαλμῶν τὴν ἀχλὺν εἷλε, ἐρέουσι τά τε ἐν τῷ ἠέρι, καὶ γυμνῇ τῇ ψυχῇ γίγνονται μάντιες ἀβρεκέες· οἱ δὲ ἐς τοσόνδε λεπτότητος ὑγρῶν καὶ τῆς γνώμης ἀφιγμένοι, οὐ μάλα τοι περιγίγνονται, ἐξηερωμένης ἤδη τῆς ζωτικῆς δυνάμιος.

ΠΕΡΙ ΧΟΛΕΡΗΣ. κεφ. ε.

Ἡ Χολέρη, παλίνορσος ἐστὶ φορὴ τῆς ὕλης τῆς ἐν τῷ παντὶ ἐς τὸν στόμαχον, καὶ τὴν κοιλίην, καὶ τὰ ἔντερα, ὀξύτατον κακόν. διεκθέει δὲ ὕπερθεν μὲν ἐς ἔμετον τὰ ἐν τῷ στομάχῳ *congesta* ἀλιζόμενα· διὰ δὲ τῆς κάτω διεξόδου τὰ ἐν τῇ κοιλίῃ καὶ τοῖς ἐντέροις ὑγρά. ἰδέην δὲ τὰ πρῶτα μὲν ὑδατώδεα· τὰ δὲ δι' ἐμέτου· τὰ δὲ δι' ἕδρης, κόπρανα ὑγρά, δυσώδεα· ἀπεψίες γὰρ ξυνεχέες αἱ τῆσδε προφάσιες ἦν. ἢν δὲ τάδε ἀποκλυσθῇ, φλεγματώδεα, ἔπειτα χολώδεα. τὰ πρῶτα μέν, ῥηϊδίως ἄπονος· ἔπειτα δὲ ξὺν ἐντάσει μὲν ὁ στόμαχος, γαστὴρ δὲ μετὰ στρόφων. ἢν δὲ ἐς τὸ κάκιον ἐπιδιδῷ, καὶ στρόφοι μείζονες, λειποθυμίη, ἔκλυσις μελέων, ἀπορίη, ἀποσιτίη. ἢν δὲ καί τι προσενέγκωνται, πολλῷ *Strepitu* ῥοίζῳ ξὺν ναυτίῃ ἐς ἔμετον διεκθέει ξανθὴ χολὴ κατακορέως καὶ τὰ διαχωρήματα ὅμοια· σπασμοί, ξυνολκαὶ μυῶν τῶν ἐν *incurvat.* τῇ κνήμῃ, καὶ βραχιόνων· δάκτυλοι καμπύλοι, σκοτόδινοι, λὺγξ, ὄνυχες πελιδνοί, κατάψυξις, ἄκρεα ψυχρά, καὶ τὸ ὅλον ῥιγώδεες. ἢν δὲ ἐς τελευτὴν ἥκῃ τὸ κακόν, ἀτὰρ ἱδροῖ ὥνθρωπος· χολὴ μέλαινα ἄνω καὶ κάτω. ἔρα σχεθεῖσα κύστις ὑπὸ σπασμοῦ· δὴ οὐδὲ οὖρον ἀλίζεται ὑπὸ τῆς ἐς τὸ ἔντερον τῶν ὑγρῶν μετοχετεύσιος· ἀφωνίη, σφυγμοὶ σμικρότατοι

καὶ πυκνότατοι, ὁκόσοι ἐπὶ ξυγκοπῇ· ἐντάσιες ἐμέτου ξυνεχέες, κενεαί, προθυμίαι τεινεσμώδεες, ξηραί, ἄχυλοι· θάνατος ἐπώδυνος καὶ οἴκτιστος, σπασμῷ καὶ πνιγὶ, καὶ ἐμέτῳ κενῷ. φέρει μὲν τὸ πάθος, ὥρη μὲν θέρεος, δεύτερον δὲ φθινόπωρον, ἦρ ἧσσον, χειμὼν ἥκιστα· ἡλικίαι δὲ, αἱ τῶν νέων καὶ ἀκμαζόντων, γῆρας ἥκιστα, παιδία δὲ, τουτέων μᾶλλον, ἀλλ' οὐ θανατώδεα.

ΠΕΡΙ ΕΙΛΕΟΥ. κεφ. ϛ.

ΕΝτέροισι γίγνεται μὲν φλεγμονὴ, ὀδύνην ὀλεθρίην ἐμποιεῦσα. θνήσκουσι γὰρ μυρίοι στρόφοισι καρτεροῖσι· ἐγγίγνεται δὲ καὶ πνεῦμα ψυχρὸν, ἀργὸν, οὔτε κάτω διῆσαι ῥηΐδιον, οὔτε ἄνω ἀνηθέεσθαι· μίμνει δὲ ἐπιπολὺ ἐλιασσόμενον, ἐν ὀλίγῃσι τῇσι ἄνω ἑλίξεσι. τοὔνεκε καὶ τὸ πάθος ἐπίκλησιν ἔσχεν εἰλεόν. ἢν δὲ πρὸς τοῖς στρόφοις δὲ καὶ πίεσις, καὶ μάλθαξις τῶν ἐντέρων ἔῃ, καὶ πουλὺ τὸ ὑπογάστριον ὑπερίζῃ, χορδαψὸς τὸ τοιοῦτόν ἐστι· οὔνομα δ'· ἔψησις μὲν γὰρ ἡ μάλθαξις· χορδὴ δὲ ἐντέρων ἐπώνυμον. καὶ γὰρ καὶ ἐπιχορδίδα τὸ μεσεντέριον ἐκίκλησκον οἱ πρόσθεν, τὰ μεσηγὺ νεῦρα καὶ τὰ ἀγγεῖα, καὶ τοὺς ὑμένας τοὺς ἀνὰ χῶρας τῶν ἐντέρων. αἰτίη τοῦ εἰλεοῦ, ξυνεχὴς μὲν διαφθορὴ σιτίων πολλῶν τε καὶ ποικίλων, καὶ οὐ ξυνηθέων, καὶ ἄλλη ἐπ' ἄλλῃ ἀπεψίη, μάλιστα δὴ ἐπὶ τοῖσι εἰλεώδεσι, ὁκοῖον τι μελάνι σηπίης. ἢν ἀδόκητος δὲ πληγὴ, ἢ ψύξις, ἢ ψυχροποσίη ἐφ' ἱδρῶτι, ἄδδην ἢ χανδόν· καὶ οἷσι δὲ ἔντερον ἐς τὸν ὄσχεον ξὺν κόπρῳ κατέβη, καὶ οὐκ ἀνώσθη ἐς τὴν κοιλίην, ἀλλ' αἰελήφθη βίῃ, τουτέοισι ἔθος ἐπιφλεγμαίνειν τὰ κάτω ἔντερα. ξυνήθες δὲ τὸ πάθος παιδίοισι, οἷσι γὰρ ἂν καὶ ἀπεψίη ᾖ, καὶ τὸ βλάβος διαδιδράσκουσι· μᾶλλον δὲ, διά τε τὸ ἔθος, καὶ τὴν ὑγρότητα τῶν ἐντέρων· ὀλισθηρὰ γάρ· γέροντες δὲ, οὐ μάλα μὲν πάσχουσι, περιγίγνονται δὲ ἥκιστα. ὥρη θέρεος τίκτει μᾶλλον

6. Sinus convolutus inarot in super. erior.

ἦρος, φθινόπωρον δὲ χειμῶνος, ἀμφοῖν δὲ ἐπὶ μᾶλλον θέρος. πολλοῖσι μὲν οὖν ἐπὶ τούτοισι στρόφοισι θνήσκουσι αὐτίκα· μετεξετέροισι δὲ καὶ πύος ἐγγίνεται, καὶ αὖθις μελανθὲν τότε τὸ ἔντερον καὶ διασαπὲν ἐξέπεσε, καὶ οὕτως ἐξέλιπον. ξυνέστι δὲ αὐτέοισι, εἰ μὲν ἐπιεικὴς εἰλεὸς εἴη, πόνος ἑλισσόμενος, στομάχου πλάδος, ἔκλυσις, μαλακίη, ἐρεύξιες κεναὶ καὶ οὐδὲν ὠφελοῦσαι, κοιλίη ὑποβορβορύζουσα φύσῃσι, ὁδοιπορέει μέσφι ἕδρης, διέξοδοι δὲ ἀτελέες· ἢν δὲ ἐπὶ πᾶσιν ἴσχῃ ὁ εἰλεὸς, πάντων ἄνω ἡ φορὴ, πνευμάτων, φλέγματος, χολῆς. ἐμοῦσι γοῦν τάδε. ἔξωχροι, ψυχροὶ τὸ πᾶν σκῆνος· πόνος πουλὺς, ἀναπνοὴ κακὴ, διψαλέοι. ἢν δὲ καὶ θνήσκειν μέλλωσι, ἱδρὼς ψυχρὸς, δυσουρίη, ἕδρη ἀπειλημμένη, ὡς μηδὲ ἰσχνὸν ἔλασμα διελάσαι· κόπρων ἔμετοι, ἄνθρωποι ἄφωνοι, σφυγμοὶ πρόσθεν μὲν ἀραιοὶ, σμικροί· περὶ θανάτου δὲ σμικρότατοι, καὶ πυκνότατοι, καὶ ἐκλείποντες. τάδε μὲν οὖν τοῖσι λεπτοῖσι ἐντέροισι ξυνεμπίπτει· ἀτὰρ καὶ κώλῳ τὰ αὐτὰ πάθεα γίγνεται, καὶ τὰ ξυνιόντα ὅμοια, καὶ ἡ αὐτὴ συμμορφή· λυτέων δὲ μετεξέτεροι διαδιδράσκουσί κοτε, ἢν πύος ἐγγένηται τῷ κώλῳ. αἰτίη δὲ τὸ βάθος τὸ σαρκοειδὲς τοῦ ἐντέρου. πόνος δὲ ἰσχυρὸς μὲν, ἠδὲ ὀξὺς ἐπὶ τοῖσι λεπτοῖσι ἐντέροισι. πλάδος δὲ καὶ βάρος ἴσχει ἐπὶ τῷ κώλῳ. διάσσει δὲ ὁ πόνος, ἄλλοτε μὲν ἐπὶ τῇσι πλευρῇσι, εὖτε φαντασίη ἐγγίγνεται πλευρίτιδος· καὶ γὰρ καὶ πυρεταίνουσι οἵδε· ἄλλοτε δὲ ὑπὸ τῇσι νώθῃσι ἐνθάδε καὶ ἔνθα, ὡς δοκέειν τὴν ὀδύνην ἥπατος ἢ σπληνὸς ἔμμεναι, αὖθίς κοτε ἐν τοῖσι κενεῶσι. πολλὸν γὰρ τὸ κῶλον καὶ παντὶ ἴλικας ποιεύμενον· μετεξετέροισι δὲ, καὶ ἐς τὸ ἱερὸν ὀστέον ἐρείδει, καὶ ἐς μηροὺς, καὶ διδύμων κρεμαστῆρας. ἐπὶ δὲ τοῖσι κωλικοῖσι, ἔμετοι πλεῦνες κενοὶ, τὰ δὲ ἐμεύμενα, λεπτὰ, χολώδεα, ἐλαιοειδέα. ἔστι δὲ ὁ ἐντεῦθεν κίνδυνος τοσόνδε ἀσινέστερος, ὁκόσον καὶ τὸ κῶλον τῶν λεπτῶν ἐντέρων σαρκοειδέστερον, καὶ παχύτερον, καὶ ἀνεξικακώτερον.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟ ΗΠΑΡ ὀξέων παθῶν. κεφ. ζ.

Τῶν ἀπὸ καρδίης οἱ ἀπὸ ἥπατος, οὐκ ὠκύτερον μὲν, ἐπιπονώτερον δὲ θνήσκουσι. ἔστι γὰρ αἵματος πάγος τὸ πλεῖστον ἧπαρ· ἢν δὲ ἐν τῇσι πύλῃσι αὐτέου ξυμπέσῃ τις θανάτου αἰτίη, οὐ μεῖον ὀξέως ἢ οἱ ἀπὸ καρδίης θνήσκουσι. ὑμέσι γὰρ καὶ τόνοισι ἐπικαίροισι καὶ λεπτοῖσι, καὶ φλεψὶ μεγάλῃσι ἐξύφανται τάδε τὰ μέρεα· ὡς δὲ καὶ τῶν σοφῶν ἀφηγέονταί τινες, καὶ ψυχῆς ἐπιθυμίη τῇδε ἐγκάθηται. αἱμορραγίη μὲν γὰρ ὑπερίσχει πάντα πολλόν· ῥίζωσις γὰρ φλεβῶν, ἧπαρ γίγνεται· ὧν ἐν αὐτέῳ μεγάλη μὲν φλεγμονὴ, οὐ κάρτα ξυνεχέως, οὐδὲ ἐν πᾶσιν ἐς τὰ ἐπίκαιρα χωρεῖ. φθάνει γὰρ ἐξηλθὼν τοῦ ζῆν ὥνθρωπος· σμικροτέρη δὲ θαμινά· τοὔνεκεν διαδιδράσκουσι μὲν τὸν ὄλεθρον, μακρότερα δὲ νοσέουσι. ἔργου γὰρ αὐτέου τοῦ κατὰ τὴν ἐξαιμάτωσιν, οὐκ ἔστιν ἀνάπαυλα, οὐδὲ ἀμβολή· ἐπὶ δὲ τὴν καρδίην, καὶ τὰ νέρθεν τοῦ διαφράγματος· ἐντεῦθεν γὰρ τοῦ αἵματος ἀφέσιες. ἢν ἐπὶ μείζονι αἰτίῃ πληγῇ, ἢ διαφθορῇσι ξυνεχέσι πολλῶν καὶ κακῶν σιτίων, καὶ οἰνοφλυγίῃ, ἢ ψύξι καρτερῇ, καὶ ἐν τῇσι πύλῃσι γίγνεται φλεγμονὴ, ὤκιστος ὄλεθρος. πῦρ μὲν γὰρ ὑποβρύχιον, ἀλαμπὲς, δριμὺ, σφυγμοὶ νωθροί· πόνου ἰδέη ποικίλη καὶ παντοίη, ἄλλοτε μὲν ἡ ὀδύνη ἐπὶ τὰ δεξιὰ διειλημμένη, ὡς δοκέειν ὀξὺ βέλος ἐγκέεσθαι· ἄλλοτε δὲ, στρόφῳ ἰκέλη· αὖθις δέ κοτε, πόνος βαρὺς, βαρύτατος· μεσηγὺ δὲ τῆς ὀδύνης, ἀτονίη, καὶ ἀφωνίη· διάφραγμα καὶ ὑπεζωκὸς ἕλκονται. ἀπὸ τοῦδε γὰρ ἄχθος τὸ ἧπαρ ἤρτηται. δὲ ἀτὰρ τόδε ἐς τὴν κατ' ἴξιν κληΐδα ὀδύνη καρτερή· βὴξ δὲ ἀτελής· προθυμίη δὲ μοῦνον· κἢν ἐς τέλος κοτὲ ἀφίκηται, ξηρή· ἀναπνοὴ κακή. οὐ γὰρ ξυντιμωρέει τῷ πνεύμονι τὸ διάφραγμα, ξυνομαρτέον ἐς ξυναγωγὴν καὶ διάστασιν. πνεῦμα σμικρὸν ἕλκουσι,

ἐκπνέουσι μέζον· χροιὴ μελάγχλωροι, μολιβδοειδέες, ἀπόσιτοι. ἢν δὲ ἐπὶ προσενέγκωνται, φυσώδεες τῶν ὑποχονδρίων· ἐρεύξιες χολώδεες ὀξίζουσαι, βρομώδεες· ναυτίη, διάστασις κενεή, γαστὴρ ἀπολελυμένη τὰ πολλὰ χολώδεα, γλῶσσα τρηχέα· αἰεὶ δὲ ἐπαυξέα γίγνεται τὰ πάθεα· γνώμη οὐ κάρτα παράφορος, νωθρή, μετέωρος, τετυφωμένη, ὄκνος πουλύς, ψύξις ἀκρέων, ἐρυγμοί, ῥίγεα, λὺγξ κενή, σπασμώδης, ἴκτερος, χολὴ ἄκριτος, χολόβαφοι τὸ πᾶν· ἢν δὲ καὶ περὶ ἑβδόμης φανῇ, καὶ ἄλλους ἔκτεινε συχνούς· ὁκόσοι δὲ ἢ αἱμορραγίῃ, ἢ κοιλίης ταραχῇ πολλοῖσι χολώδεσι, ἢ οὔροισι ἀκρίτοισι συχνοῖσι, τὸν ὄλεθρον διήλλαντο, τουτέοισι δὲ μετὰ τρεῖς ἑβδομάδας ἐς ἀπόστασιν πύου τὸ ἧπαρ τρέπεται· ἢν δὲ ἐπὶ πολλὸν ὑπερβάλλῃ χρόνον αὐτοῦ ἀπόστασιος, ἐς ὕδρωπα ἄφυκτον τελευτᾷ· διψαλέοι, βραχύπνοοι, ξηροὶ τὸ σκῆνος, ἀλιπέες· ὀξέων ἐπιθυμίη, ἄποιος ἡ γεῦσις. τίκτει δὲ τόδε τὸ πάθος φθινόπωρον· σὺν πλῆθος ὡρίων, καὶ ποικίλων ἀπεψίη· ἡλικίη δὲ, πασέων μᾶλλον ἀκμή.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΚΟΙλὴν φλέβα ὀξείης νούσου. κεφ. η

Ἀπὸ τῶν πυλέων τοῦ ἥπατος εὐρεῖα φλὲψ διαΐσσει μέσην τῶν τοῦδε περάτων. αἱ γὰρ ἐς λεπτὰ καὶ πλεῦνα σχιζόμεναι, ἐπὶ τέλος ἐς ἀφανέα τῇσι ὄψισι πάντῃ τοῦ ἥπατος σκίδνανται· τῇσι δὲ τουτέων πέρασι ἄλλων φλεβῶν περατώσιες κατὰ τὸ σῶμα ξυγχέονται, αὐτὰρ ἐκ λεπτῶν καὶ πλεύνων, μέζονές τε ἐλάσσονες γίγνονται· ἐπιτελέως ἐν μέσῳ τῷ ἥπατι, ἐς μίαν φλέβα μεγάλην συναγείρονται. ἐντεῦθεν δὲ δοιαὶ ἐξ ἀποσχίσιος γιγνόμεναι, πέρην τοῦ ἥπατος ἀφικνέονται. ἡ μὲν γὰρ ἄνω παρὰ τὸν λοβὸν διαπερήσασα, ἐς τὰ κυρτὰ αὐτέου ἐξεφαάνθη· ἔπειτα περήσασα τὸ διάφραγμα ἐμφύεται τῇ καρδίῃ κοί-

in gibba eius parte emergit

λη φλὲψ ἥδε καλέεται· ἡ δὲ ἑτέρη, τὸν κάτω λοβὸν τὸν πέμπτον διαπερήσασα μέχρι τοῦ κυρτοῦ, ἐπὶ τὴν ῥάχιν ἀΐσσει, καὶ τῇδε παρατέταται, μέχρι τῶν ἰσχίων. ἀτὰρ καὶ ἥδε κοίλη. οὔνομα τὸ αὐτὸ, οὕνεκεν μία γε ὡυτὴ ἐστὶν ἡ φλὲψ τὴν ἀρχὴν ἀπὸ τοῦ ἥπατος ἴσχουσα. εἰ γάρ τις ἐθέλει, διελάσαι αὖ ἔλασμα καὶ ἀπὸ τοῦ ἄνωθεν τοῦ ἐπὶ τὴν καρδίην κοίλης φλεβὸς ἐς τὸ παρὰ τὴν ῥάχιν, καὶ ἀπὸ τῆς ῥάχιος διὰ τοῦ ἥπατος ἐπὶ τὴν καρδίην. ἄνοδος γὰρ ἡ αὐτή. ἥδε οὖν ἡ φλὲψ, ὡς ἐγὼ δοκέω, ἡ ξύμπασα νοσέει ὀξέσι πάθεσι, καρτεροῖσι· μία γὰρ ἐστι πᾶσα· μετεξετέροισι δὲ ἰητροῖσι μούνη δοκέει παρὰ τὴν ῥάχιν νοσέειν, οὕνεκα τῆς ἐς τὴν καρδίην τὰ σημεῖα οὐ περιφανέα. ἐντὸς γὰρ τοῦ θώρηκος διατέταται πρὸς οὐδὲν προσισχομένη, ἀλλ' ἐναιωρευμένη τῷ θώρηκι, ἔστ' ἂν ἀπὸ τοῦ διαφράγματος ἐμφύῃ τῇ καρδίῃ. ἢν οὖν τι μεγάλων κακῶν ἴσχῃ τήνδε τὴν φλέβα, ξυνέκρυψε ἀμπέχων ὁ θώρηξ. γίγνεται δ' οὖν ἀμφὶ τήνδε τὴν φλέβα καὶ κέδματα· ἔστε ῥηγνυμένη αἱμοῤῥαγίη ὤκιστα κτείνει· ὕπερθεν μὲν, διὰ πλεύμονος καὶ ἀρτηρίης ἐκχεομένου, ἢν ἐν τῷ θώρηκι ῥαγῇ· ἢν δὲ παρὰ τὴν ἀρχὴν, ἐς τὴν κάτω κοιλίην τοῖσι ἐντέροισι περιέχεται, ὡς ἐμπλέειν τὰ ἔντερα, ἔστε πρόην καθ' ἓν ἐκφλῦναι τὸ αἷμα, θνήσκουσι οἵδε· ἦν δὲ ἡ κοιλίη πληρευμένη αἵματος. γίγνεται δὲ καὶ φλεγμονὴ ἀμφὶ τὴν φλέβα, ἀτὰρ γε ἥδε ὀξέως κτείνει, ἢν μεγάλη ἔῃ. πῦρ μὲν γὰρ δριμὺ, δακνῶδες, ἐν τῇσι κοιλίῃσι ἀμφοῖν ἐγκαθειργμένον, βραχὺ δὲ μοῦνον ὑπερίσχον, ὡς δοκέειν ἀπιομένῳ λεπτὴν ἔμμεναι θέρμην· ὁ δὲ ἄνθρωπος καίεσθαι δοκέει· σφυγμοὶ σμικροὶ, πυκνότατοι, ὁκοῖον τι πεπιεσμένοι, καὶ δεδιωγμένοι. ψύξις ἀκρέων, δίψος καρτερὸν, στόματος ξηρότης, προσώπου ἐρύθημα ξὺν ἀχροίῃ· ὑπέρυθροι δὲ τὸ ξύμπαν σῶμα· ὑποχόνδρια σκληρὰ, ἀνεσπασμένα, ὀδύνη ἐπὶ δεξιὰ μᾶλλον, καὶ παλμὸς τῆσδε παραμήκης, μέχρι τῆς λαγόνος· μετεξετέροισι δὲ

lamellam
transmitteret
eadem via
compressi

καὶ τῆς ἀρτηρίης τῆς παρὰ τὴν ῥάχιν, ἣν ὁ σφυγμὸς ἐς τὸ ἕτερον ὑποχόνδριον διασημαίνῃ. ξυμπαθὴς γὰρ καὶ ἥδε γίγνεται παρ' αὐτὴν ἐπ' ἀριστερὰ κειμένην, ὡς τὸ ἐπὶ τῷ παντὶ οὐδὲν ἐπικουφιζούσης, ἀλλ' οὐδὲ τὸ δέρμα μαλθαζούσης· ξηρὸν δὲ τόδε, καὶ ῥυσσὸν, καὶ τρηχύ· καὶ ἐπὶ δὲ μᾶλλον ἐν τοῖσι ἐξέχουσι ὀστώδεσι· οἷον ὀλεκράνῳ, γούνασι, ἢ κονδύλοισι· ὕπνοι τε ταραχώδεες, κοιλίη τοῖς μὲν οὐδὲν ἐκδιδοῖ, τοῖς δὲ σμικρὸν, δριμὺ, χολῶδες· οὖρα ξανθὰ, δακνώδεα· τὴν γνώμην οὐ παράφοροι μὲν, νωθροὶ δὲ καὶ μαρασμώδεες, οὔτε ὁκόσοι τήνδε τὴν κατάστασιν εἶδον, καῦσον ἐκάλεον. καὶ γὰρ καὶ τοῖς ἰδίοις τοῦ καύσου τὰ παρεόντα, καὶ ἐν φθινοπώρῳ γίγνεται· ἐπεὶ τὸ θηριῶδες, καὶ ἀκμάζουσι καὶ νέοισι, οἷσι ἰσχνὴ ὑπὸ διαίτης πονηρῆς καὶ ταλαιπωρίης ἡ ἕξις. τεσσαρεσκαιδεκαταῖοι οἵδε τὰ πολλὰ θνήσκουσι· οἷσι δ' αὖ ἐς μῆκος ἡ νοῦσος ἀφίκηται, ἐν διπλασίοισι ὄλλυνται· ὁκόσοι δὲ, ἢ σμικρὴν ἀρχῆθεν ἴσχουσι τὴν φλεγμονὴν, ἢ τῆς μεγάλης κατὰ βραχὺ διαλυομένης, διαδιδράσκουσι μὲν τὸν ὄλεθρον, οὐδέκω δὲ ἀφίενται τοῦ κακοῦ. οἱ δὲ μακρὸν μὲν τὸν χρόνον τὸν καῦσον νοσέουσι· ἀποπαύεται δὲ τὰ κινδυνώδεα, αἱ ὀδύναι καὶ ξυντάσιες τῶν ὑποχονδρίων, καὶ ἡ κακοσφυξίη, καὶ τῆς γνώμης τὸ νωθές· ἔτι δὲ ἔμπης ἔασιν ἀσώδεες, ἀλύοντες ξὺν ἀπορίῃ· ξύνεστι δὲ ὅ, τε καῦσος, καὶ τὸ δίψος, καὶ τῆς γλώσσης καὶ τοῦ στόματος ἡ ξηρότης· ἀναπνέουσι πολλὸν, μακρὸν ἕλκοντες καὶ ἀθρόον, ὅλον τὸν ἠέρα, ἐς ἔμψυξιν ἐπισπώμενοι· ἀτὰρ ἤν τε πίνουσι ψυχρὸν χανδὸν πολὺ πλεῖστον, καὶ ἐς μὲν βραχὺ ἀνεκουφίσθησαν, εἶτ' αὐτοῖς ἐξάπτεται τὸ δίψος, αὖθις ἀδδὴν πίνουσι· καὶ ἥδε ἡ διαδοχὴ τοῦ κακοῦ. καὶ ἰητρὸς δὲ ἀγαθὸς, ψυχρὸν ἂν δῴη πολλὸν ἀσινέως, ὅκως ἐν τῇσι ἄλλῃσι καύσεσι· ἀσφαλέστερον δὲ τοῖσι ἀπὸ τῆς κοίλης φλεβὸς νοσέουσι τὸν καῦσον. κἢν μὲν ἡ γαστὴρ, ἢ ἡ κύστις τὸ ποτὸν ὑποφέρῃ, οὐδὲ ἐμέτου δεῖ· εἰ δὲ μὴ, ἐπὶ πολλῷ τὸ πολλὸν τοῦ ψυχροῦ ἐμέσαι χρή. ἐκ ταραχῆς γὰρ αὖ τῶν

avide

θρωπος, εἰ τοσόνδε πίνων, μηδὲν διαχωροίη, ἢ ἱδρῶσι, ἢ οὔροισι, ἢ κοιλίῃ.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟΥΣ ΝΕφροὺς ὀξέων παθῶν. κεφ. θ.

Νεφροὶ, τὴν μὲν τοῦ σώματος ἰδέην, οὐ κάρτα ἐπίκαιροι ἐς κίνδυνον, ἢν καὶ τι πάθωσι ὀξέως· ἀδενώδεες γὰρ τὴν φύσιν, ἐς δὲ ὄλεθρον εὐήθεες· ἐπίκαιρον δὲ αὐτέων τὸ ἔργον, ἥτε διάκρισις τῶν οὔρων ἀπὸ τοῦ αἵματος, καὶ ἡ ἀπόκρισις. ἐπέχει δὲ τήνδε, ἢ λίθος, ἢ ἐγγιγνομένη φλεγμονὴ, ἢ αἱμάλωψ, ἢ τι τοιόνδε· οὔτε ξυμπαθὴς μὲν τῆς διὰ τὴν ἰδέην τοῦ σώματος κακὸν γίγνεται οὐδέν· ἡ δὲ ἐπίσχεσις τῶν οὔρων, πάντα τὰ δεινὰ περήσει. πῦρ μὲν γὰρ δριμὺ, ἀσῶδες, ὀδύνη κατ᾽ ὀσφὺν ἐπὶ ἐσχάτη βαρεῖα, διάτασις τῶν μερῶν, μᾶλλον δὲ τῶν ἀμφὶ τὸ ὑποχόνδριον· οὔρου ἐπίσχεσις, ἢ ἐς τὸ πάμπαν, ἀλλὰ σταγόνι μὲν οὐρέουσι, ἐπιθυμίη δὲ πολλὸν ἐκχέαι. πλημμύρης γὰρ αἴσθησις. ἢν δὲ καὶ τὸ οὖρον δριμὺ καὶ δακνῶδες ἐγγένηται, ψύξιες, ἔμετοι, σπασμοὶ, διατάσιες καὶ πληρώσιες τῶν ὑποχονδρίων. ἰκέλη ἡ ξυμφορὴ ἥδε καὶ ξυναίσθησις γίγνεται, τοῖσι ἀπὸ πλήθεος σιτίων καὶ διαφθορῆς ἐμφυσηθεῖσι τὴν κοιλίην· σφυγμοὶ τὰ πρόσθεν μὲν ἀραιοὶ, νωθροί· ἢν δὲ ἐπιμάλλον τὸ κακὸν πιέζῃ, σμικροὶ, πυκνοὶ, ταραχώδεες, ἄτακτοι, ὕπνοι λεπτοὶ, ὀδυνώδεες, οὐ διηνεκέες, καὶ ἐξαπίνης ἐκθορνύμενοι ὡς ὑπὸ νύξιος, εἶτα ὑποφέρονται ἐς κῶμα, ὡς ὑπὸ καμάτου· τὴν γνώμην οὐ κάρτα παράφοροι, ληρώδεες, πελιδνοὶ τὰ πρόσωπα· ἢν δὲ ἥκῃ αὖθις κοτὲ τῆς οὐρήσιος ἡ προθυμίη, ἐπὶ σπασμοῖσι καὶ μεγάλῃσι ὀδύνῃσι βραχὺ ἀπὸ τοῦ σταγόνα ἐξέκρινε, οὔτε σμικρὸν ἐπαύθη τῶν πόνων· εἶτα ἐς τὰ αὐτὰ παλινδρομέες. ὀξύτατα δὲ θνήσκουσι τῶν δὲ οἷσιν οὐδὲν ἐκκρίνει, ὁκόσοι δὴ θνήσκουσι· οἱ πλεῦ-

νες γὰρ περιγίγνονται, ἢ τοῦ λίθου ἐς τὴν κύστιν διὰ τῶν οὔρων ἐκπεσόντος, ἢ τῆς φλεγμονῆς ἐς πύον τρεπομένης, ἢ κατὰ βραχὺ διαπνεομένης. ἢν γὰρ καὶ ἐπὶ σμικρὸν ἐνδεῶς διεξιέναι ῥηϊδίως τὸ οὖρον, διαδιδρήσκουσι τὸν ὄλεθρον· χρόνῳ δὲ μακρῷ φθίνουσι τὴν ἕξιν. ὀρθῶς τάδε οἱ νοσέοντες πάσχουσι, καὶ καταγίγνονται ἐς σύντηξιν ὑποφερόμενοι. ὧραι δὲ καὶ χῶραι, καὶ ἡλικίαι φέρουσι, αὐτὰρ καὶ τὰ κατὰ τὰς κοίλας φλέβας. ἐξεῤῥάγη κοτὲ αἷμα ἀπὸ τῶν νεφρῶν πολλὸν ἀθρόον, καὶ πολλῇσι ἡμέρῃσι ξυνεχὲς ἔῤῥεε· ἀλλ' οὔτινες αἱμοῤῥαγίῃ θνήσκουσι, ἀλλ' ἢ φλεγμονῇ τῇ ξὺν αἱμοῤῥαγίῃ γιγνομένῃ, ἢν ἐπισχεθῇ τὸ αἷμα· τὰ πολλὰ δ' ἐξ ἐπισχέσιος, ἐπὶ μεγάλῃ φλεγμονῇ θνήσκουσι.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΚΥΣΙΝ ὀξέων παθῶν. κεφ. ι.

Κύστις χαλεπὴ μὲν ἐν νούσοισι ὀξείῃσι πονῆσαι· κἢν ἄλλοισι ξυμπεπόνθῃ· χαλεπωτέρη δὲ καὶ θανατωδεστέρη, ἢν ἀφ' ἑωυτῆς ἄρξηται· καὶ γὰρ καὶ δυνατωτάτη πάντα ξυμπαθέα ποιῆσαι, καὶ νεῦρα, καὶ γνώμην. νεῦρον γὰρ ἡ κύστις ψυχρὸν καὶ λευκὸν, ἀτὰρ καὶ προσωτάτω τοῦ οἰκείου θάλπεος· ἐγγυτάτω δὲ τῆς ἔξω ψύξιος. ἐν γὰρ τῇ νειαίρῃ γαστρὶ κατωτάτω ἵζει, προσωτάτω τοῦ θώρηκος· ἀλλὰ καὶ ἔργον αὐτέης ἐπίκαιρον, ἡ τῶν οὔρων ἔξοδος. κἢν οὖν μοῦνον ἥδε ἐπισχεθῇ λίθοισι, ἢ θρόμβοισι, ἢ τευ ἄλλῃ ἰδίῃ, ἢ ἀλλοτρίῃ ξυμφορῇ, θανατώδεες. ἐπὶ γυναικῶν μὲν γὰρ αὐτέων καὶ ὑστέρων φλεγμοναὶ ἀναπιέζει· ἐπ' ἀνδρῶν δὲ, τὸ ἔσχατον, τὸ εὐθὺ, τὸ παράμηκες ἔντερον· ἐν πολλοῖσι δὲ ἐκ καρτερίης ἀεκουσίου ὑπ' αἰδοῦς ἐν ξυλλόγοισι, ἢ ξυνδείπνοισι πληρουμένης, διατέταται, ἀδρανίῃ τε περιστολῆς, οὐκέτι μεθίησι. ἔστιν οὖν ἐπίσχῃ τὰ

οὖρα

[illegible] (handwritten marginal note)

magno intervallo a pec[tore] (handwritten marginal note)

comprimitur (handwritten marginal note)

retentionis involuntaria (handwritten marginal note)

2. impotentia contrahendi non amplius emittit (handwritten note)

οὖρα, πληρώσιες καὶ τῶν ὕπερθεν μερέων, νεφρῶν, οὐρητήρων διατάσιες, λαγόνων ὀδύνη βαρείη, σπασμὸς, τρόμος, ῥίγεα, γνώμης παράφοροι. ἢν δὲ πρὸς τοῖσι καὶ ἕλκος πεπόνθῃ ἢ φλεγμονὴν, πολλὰ μὲν τὰ κακὰ, ὄλεθρος δὲ πολλόν τι ἑλκέων ὤκιστος. ἀλλ' ἀμφὶ μὲν ἕλκεος καὶ ἀποστάσιος, καὶ πυώδεος, καὶ τῶν ὁκόσα μὴ ὀξύτατα ᾖ, ἐν τοῖσι χρονίοισι λελέξεται· ὁκόσα δὲ κατόξεα, καὶ ἐν ισῃ ἡμέρῃσιν, ἢ ὀλίγῳ θᾶσσον, ἢ βραδίον κτείνει, ὁκοῖον φλεγμονὴ, ἢ θρόμβοι, ἢ λίθος ἐς τὸν τράχηλον ἐμπεσὼν, περὶ τῶνδε νῦν ἐρέω. ἢν οὖν τι τουτέων ξυμβῇ, οὔρων ἐπισχέσιες, ὄγκος ἐν τῷ ἐπιγαστρίῳ, ὀδύνη ὀξείη, πάντη τῆς κοιλίης· περίτασις τῆς κύστιος, ὁ ὠχρὸς ἱδρὼς τῇ δεκάτῃ, ἔμετοι φλεγματώδεες, ἔπειτα χολώδεες, ψῦξις ὅλου, ποδῶν δὲ μᾶλλον· ἢν δὲ ἐπὶ μέσον τὸ κακὸν ἕρπῃ, πυρετοὶ λυγγώδεες, σφυγμοὶ, ἀτάξιῃ πυκνοὶ, καὶ μικροὶ, ἐρύθημα τοῦ προσώπου, διψώδεες, ἀπορίη, γνώμης παράφοροι, σπασμοί· ἐπὶ δὲ φαρμάκοισι δηλητηρίοισι καὶ κανθαρίσι, ἢ βουπρήστει καὶ πνεύμασι, ἐμπιπρᾶται ἡ κύστις, καὶ ἡ ξύμπασα κοιλίη βιαιοτέρη καὶ πάντα κακίων, καὶ οὐκ εἰς μακρὸν ἡ τοῦ θανάτου ἀμβολή. αἱμορραγέει κοτὲ κύστις· ξανθόν τε καὶ λεπτὸν τῇδε τὸ αἷμα· ἀλλ' οὐδέν τι διὰ τήνδε θνήσκουσι, κἂν μὴ ῥηϊδίη ἡ ἐπίσχεσις· ἀλλ' ἐπὶ τοῖσι θρόμβοισι καὶ τῇ φλεγμονῇ ὁ κίνδυνος· ψῦξις γὰρ καὶ νέκρωσις, καὶ γαγγραινώσιες, καὶ τὰ ἐπὶ τῇδε κακὰ ῥηϊδίως κτείνει. φέρει δὲ τὰς νόσους, χεῖμα, καὶ μετόπωρον· ἡλικίη δὲ, ἀκμὴ, ἔτι δὲ μᾶλλον γῆρας· αἱ δὲ ἄλλαι ὧραι, καὶ αἱ ἡλικίαι, οὔτε ξυνεχέως, καὶ ἥκιστα κτείνουσι· ἀσινέστατα δὲ πάντων, τὰ παιδία.

ΠΕΡΙ ΥΣΤΕΡΙΚΗΣ ΠΝΙΓΟΣ, κεφ. ια.

Ἐν τῇσι λαγόσι τῶν γυναικῶν μέσῃσι ἐγκέεται ἡ μήτρη, σπλάγχνον γυναικήϊον ἄγχιστα ζωῶδες. κινέεται γὰρ ἐξ ἑωυ-

τέης ἔνθα καὶ ἔνθα ἐπὶ τὰς λαγόνας· ἀτὰρ καὶ ἐς τὰ ἄνω, κατ' ἴξιν μὲν, ὑπὸ τὸν χόνδρον τοῦ θώρηκος· ἐς τὰ πλάγια δὲ, ἐπὶ δεξιὰ, ἢ ἐς ἀριστερὰ, ἢ ἐς ἧπαρ, ἢ σπλάγχνα, γίγνεται δὲ καὶ προπετεστέρη ἐς τὰ κάτω, καὶ ξυλλήβδην εἴπωμεν, πάντη ἐστὶ πλανώδης· καὶ εὐώδεσι ὀσμήσεσι τέρπεται, καὶ ἐπ' αὐτὰ ἴεται· ἄχθεται δὲ τοῖσι κακόδμοισι, καὶ αὐτὰ φεύγει· καὶ τὸ ξύμπαν ἐν τῇ ἀνώ ἐστὶ ἡ ὑστέρη, ὁκοῖόν τι ζῶον ἐν ζώῳ. ἤδε οὖν ἢν ἐξαπίνης ἀνωΐσος γένηται, καὶ ἐπιπολὺ ἄνω μείνῃ, καὶ ἐκβιάσηται τὰ σπλάγχνα, ἀποπνίγεται κοτὲ ἡ ἄνθρωπος, τρόπον τὸν ἐπιληπτικὸν, ἄνευθεν σπασμῶν. ἐπιέζετο γὰρ ὠκέως στενοχωρείῃ ἧπαρ, διάφραγμα, πνεύμων, καρδίη. τοὔνεκεν ἀπνοίη ξυνεῖναι δοκέει καὶ ἀτονίη· ἀτὰρ καὶ αἱ καρωτίδες ξυμπαθίῃ τῆς καρδίης πιέζονται. διὰ τόδε καρηβαρίαι τε καὶ ἀναισθησία ξυνέστι κοινῷ κάρῳ. γίγνεται δὲ καὶ ἄλλο πάθος αὐτέῃσι ἴκελον τῇδε ξυμμορφῇ, ξὺν πνιγὶ καὶ ἀφωνίῃ· ἀλλ' οὐκ ἀπὸ ὑστέρης. καὶ γὰρ τόδε καὶ ἀνδράσι γίγνεται κατοχώδεα τρόπον. ἀλλὰ τῇσι μὲν ἀπὸ ὑστέρης κακώδεες ἐπαρήγουσι ὀδμαὶ, καὶ εὐωδέων πρὸς τὰ γυναικήϊα ὑποθέσιες· τῇσι δὲ ἑτέρῃσι τάδε οὐδὲν ἐπαρήγει, καὶ τὰ μέλεα κινέονται ἀπὸ ὑστέρης· ἀπὸ δὲ τοῦ ἑτέρου πάθεος, ἥκιστα. ἔτι δὲ τρόμοι αὐτόματοι, καὶ οὐκ αὐτόματοι· ἀλλ' ἐξ ὑποθέσιος ἀμβλωθριαίου. ψύξιες καρτεραὶ τῆς ὑστέρης, αἱμορραγίης ἀθρόης ἐπίσχεσις, καὶ ὁκόσα τοιάδε. ἢν οὖν ἄρξηται πάσχειν κινευμένης ἄνω τῆς ὑστέρης, ὄκνος ἔργων πρήξιος, ἔκλυσις, ἀτονίη, γουνάτων ἀκρασίη, σκοτόδινος, καὶ τὰ γυῖα λύονται, κεφαλῆς πόνος, καρηβαρίη. τὰς φλέβας τὰς ἑκάτερωθεν τῆς ῥινὸς ἀλγέει ἡ γυνή· ἢν δὲ καταπέσωσι, καρδιώσσουσι, ἐν τοῖσι ὑποχονδρίοισι λαγόνες κεναὶ, ἔνθα ἡ ἕδρη τῆς ὑστέρης, σφυγμοὶ διαλείποντες, ἄτακτοι, ἐκλείποντες, πνὶξ καρτερὴ, ἀφωνίη, ἀναισθησίη, ἡ ἀνάπνοη ἄσημος, ἀσαφὴς, ὤκιστος καὶ ἄπιστος ὁ θάνατος. οὐδὲν γὰρ ἴσχουσι νεκρῶδες· ἐς

obliq3 etiam
aversatur autem
violenter comprimat
angustiis
novo sopore
Catocha seu Catalepsis.
Non succurrunt
Q sc. ex abortu.

χροιήν, ζωώδεες· ἐρυθρότεραι μᾶλλον μέχρι πολλοῦ τοῦ θανάτου· ὀφθαλμοὶ μικρόν τι ἐξίσχοντες, λαμπροὶ, οὐ κάρτα μὲν ἀτενέες, ἀτὰρ οὐδὲ κάρτα κεκαμμένοι. ἢν δὲ μετακινέηταί κοτε ἐς ἕδρην ἡ ὑστέρη, πρὶν ἐς τέλος ἰέναι τὸ πάθος, διαδιδράσκουσι τὴν πνίγα. εὖτε κοιλίη ὑποβορβορύζει, ὑγρότης τῶν γυναικηίων τόπων, ἀναπνοὴ δασυτέρη καὶ σαφεστέρη· ὠκίστη ἐκ τοῦ πάθεος ἡ ἔγερσις, ὅκως καὶ ὁ θάνατος ὤκιστος. καὶ γὰρ ῥηιδίως τοῖσι ἄνω προχωρέει· ἀτὰρ ἤδε ῥηιδίως ἀφίσταται. ἀκρόπλοος τε γὰρ ἡ ὑστέρη· ὑγροὶ δὲ καὶ οἱ ὑμένες οἱ ὀχέες αὐτῆς· ὑγρὸν δὲ καὶ τὸ χωρίον, ἔνθα κέεται ἡ ὑστέρη· πρὸς δὲ φυγῇ τε καὶ ὁρμῇ χρέεται ἡδέων τε καὶ ἀηδέων. ῥηιδίως οὖν νεύει ὅκως πρέμνος ἔνθα καὶ ἔνθα, ἄνω τε καὶ κάτω πλώει. διὰ τόδε νεήνισι τὸ πάθος γίγνεται, γεραιτέρῃσι δὲ ἥκιστα. ᾗσι γὰρ ἡλικίη τε καὶ βιοτὴ καὶ γνώμη πλανωδεστέρη, τῇσι καὶ ὑστέρη ἐστὶ ῥεμβώδης· πηλικωτέρῃσι δὲ εὐσταθέα καὶ ἡλικίη καὶ βίος, καὶ γνώμη, καὶ ὑστέρη. ἥδε μὲν οὖν ἡ ἀπὸ ὑστέρης πνὶξ, μούνῃσι γυναιξὶ παρομαρτέει· γίγνεται δὲ καὶ ξυνὰ πρὸς ἄνδρας πάθεα τῇ ὑστέρῃ φλεγμονὴ, αἱμορραγίη· ξυνὰ δὲ καὶ τὰ παρεόντα σημεῖα, πυρετοὶ, ἀσφυξίη, ψύξις, ἀφωνίη· ἐπὶ δὲ τῇ αἱμορραγίῃ, καὶ ὀξύτεροι οἱ θάνατοι, ὁκοῖόν τι ἐν ζώῳ σφαγή.

ΠΕΡΙ ΣΑΤΥΡΙΑΣΕΩΣ. κεφ. ιβ.

Οἱ σάτυροι οἱ τοῦ Διονύσου ἱεροὶ, ἐν τῇσι γραφῇσι, καὶ τοῖσι ἀγάλμασι, ὄρθια ἴσχουσι τὰ αἰδοῖα, ξύμβολον τοῦ θείου πρήγματος. ἔστι δὲ καὶ πάθεος ἰδέη, ἀνίσχοντος ὄρθια τοῦ πάσχοντος τὰ αἰδοῖα, ἐπίκλησις σατυρίησις ἐς ὁμοιότητα τοῦ θεοῦ σχήματος. ὁρμὴ δὲ ἐστὶ ἄσχετος ἐς ὁμιλίην· ἀτὰρ οὐδ᾽ ἐν τῇσι προσόδοισι οὐδὲν ὠφελέονται· οὐδὲ ἐπὶ πολλοῖσι καὶ συνεχέσι ὁμιλίῃσι πρηΰνονται τὸ ὄρθιον. σπασμοὶ δὲ ἁπάντων τῶν νεύρων, καὶ

Q partes inter Inguen et femur

ἔντασις τενόντων, καὶ βουβώνων, καὶ πληχάδος, φλεγμονὴ τῶν αἰδοίων καὶ πόνος, ἐρύθημα προσώπου, καὶ ἰκμὰς νοτίδι ἰκέλη. περιστελλόμεναι, ἡσυχῇ ἐπίλυποι, κατηφέες, ὥσπερ ἀχθόμενοι τῇ ξυμμορφῇ· ἢν δὲ ὑπερίσχῃ καὶ τὴν αἰδῶ τοῦ ἀνθρώπου τὸ πάθος, ἀκρατέες μὲν γλώσσης ἐς τὸ ἄκοσμον· ἀκρατέες δὲ ἐς τὸ ἀμφαδὸν καὶ τῆς τοῦ ἔργου πρήξιος, παράφοροι τὴν γνώμην ἐς τὸ ἄσχημον. κατέχειν γὰρ οὐ δύνανται· διψώδεες, φλέγμα πολλὸν ἐμέουσι· ἐπειδὴ τοῖσι χείλεσι ἀφρὸς ἐφιζάνει, ὅκωσπερ τοῖσι ὀργῶσι τῶν τράγων· ἀτὰρ ἥδε ὀσμὴ ὁμοίη. οὖρον δὲ ἐξ ἐπισχέσιος πολλῆς, ἀλλ' ἐς λευκὸν, παχὺ, γονοειδές· κοιλίη ἀπολελυμένη, γαργαλισμοὶ αὐτόματοι πλευρέων καὶ μασχαλῶν, σπασμώδεες, ἀπόσιτοι, εἰ δὲ προσφέροιντο, ἁρπάδην, τρηχώδεες ἢν δὲ ἐς ὄλεθρον ἥκῃ τὸ κακὸν, φυσώδεες. κοιλίην ἐπηρμένοι, τενόντων καὶ μυῶν τῶν πάντων ξύντασις, δυσκινησίη, ξυνολκαὶ μελέων, σφυγμοὶ μικροὶ, ἀσθενέες, ἄτακτοι. ἔλυσέ κοτε τάδε πάντα κοιλίη ἐκταραχθεῖσα πολλοῖσι φλεγματώδεσι, χολώδεσι, ἔμετος ὁμοίως. οὐκ αὖθεν κινδυνεύησις, ὕπνος βαθὺς καὶ μήκιστος. ψῦξις γὰρ καὶ πάρεσις καὶ νάρκη νεύρων, ὕπνος πουλύς· νάρκη δὲ καὶ ψῦξις, σατυρίησιν ἰῆται. γίγνεται δὲ τὸ πάθος, ἦρος μάλιστα καὶ θέρεος. ἡλικίῃσι δὲ μειρακίοισι καὶ νέοισι· μάλιστα δὲ ὁκόσοισι ἡ φύσις ἐς ξυνουσίην ἑτοίμη· ὀξύτατον ἠδὲ ἀτερπὲς, ἠδὲ ἄκοσμον κακόν. τὰ πολλὰ γὰρ ἐν ἑβδόμῃ θνήσκουσι. λόγος δὲ ὅτι καὶ γυναῖκες πάσχουσι τοῦτο τὸ πάθος, καὶ ἥτε ἐς τὰ ἀφροδίσια ὁρμὴ ὁμοίη, καὶ τὰ λοιπὰ ξύμπαντα τὰ αὐτά· ἐγὼ δὲ μαχλοσύνην μὲν γυναιξὶ ὑγρῇσι πείθομαι γίγνεσθαι, ἐς ἔκχυσιν τοῦ πλήθεος τούτων· σατυρίησιν δὲ ἥκιστα. οὔτε γὰρ ἡ φύσις αὐτέων ἑτοίμη· ψυχρὴ γὰρ, ἀλλ' οὐδὲ μόρια ἐς ὀρθίησιν, ὅκωσπερ σάτυρος, ἴσχει γυνή, ὥσπερ τὸ πάθος ἐπώνυμον. οὐδὲ γὰρ οὐδὲ ὁπηνίκα τῆς ἀπὸ ὑστέρης νοσέουσι ἄνδρες, οὕνεκεν οὐκ ἴσχει ὑστέρην ἀνήρ.

superat verecundiam

Spumas obtegunt ut in hircis aestuantibus alarum

adolescent

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ, ΠΕΡΙ αἰτίων καὶ σημείων χρονίων παθῶν, βιβλίον πρῶτον.

ΠΕΡΙ ΧΡΟΝΙΩΝ ΠΑΘΩΝ, κεφ. α.



ΧΡονίων νούσων, πόνος μὲν πουλὺς, χρόνος δὲ μακρὸς συντήξιος, καὶ ἀβέβαιος ἡ ἀνάληξις. ἢ γὰρ οὐκ ἐξηλάθησαν ἐς τὸ πάμπαν, ἢ ἐπὶ σμικρῇ ἁμαρτωλῇ παλινδρομέουσι αἱ νοῦσοι. οὔτε γὰρ ἀτρεμέειν οἱ νοσέοντες ἐθελέουσι ἐς τέλος· ἀτὰρ ἢν δὲ ἁμαρτάνουσι ἐν τῇσι μακρῇσι διαίτῃσι, κἢν ἀτρεμέωσι· ἢν δὲ ὁ πόνος ᾖ ἐπιπόνου ἰήσιος, δίψης, λιμοῦ, φαρμάκων πικρῶν καὶ ὀδυνωδέων, ἢ τομῆς, ἢ καύσιος· ὧνπερ δεῖ ἐν τῇσι δολιχῇσι νούσοισι χρέος, ὡς ὑποδιδρήσκουσι οἱ κάμνοντες, θανάτου δῆθεν αὐτέου ὀρεγόμενοι. ἔνθα δὴ ἀρετὴ διαείδεται[2] ἀνδρὸς ἰητροῦ, καὶ μακροθυμίης, καὶ ποικιλίης, καὶ χάριτος ἀβλαβοῦς τῶν ἡδέων, καὶ παραιφάσιος[3]· ἀτὰρ καὶ τὸν νοσέοντα χρὴ ἄλκιμον ἔμε-

C

2. ars perspicitur 3. blande loquendo

ται, καὶ ξυνίσασθαι τῷ ἰητρῷ κατὰ τοῦ νοσήματος. οὐ γὰρ τοῦ σώματος μοῦνον ἀπρὶξ λαβόμενον, ταχὺ ἀνασμύχει τε καὶ δάπτει, ἀλλὰ ἐς πολλὰ καὶ τὴν αἴσθησιν ἐκτρέπει· ἀλλὰ καὶ τὴν ψυχὴν ἐκμαίνει. ἀκρασίη τοῦ σώματος τοιῶνδε τὴν μανίην καὶ τὴν μελαγχολίην ἴσμεν, περὶ ὧν αὖθις ἐρέω· ταναῦν δ' ἀμφὶ κεφαλαίης φράσω.

ΠΕΡΙ ΚΕΦΑΛΑΙΗΣ. κεφ. β.

ΗΝ ἀλγέῃ κεφαλὴ σχεδίως ἐπὶ προσκαίρῳ αἰτίῃ, κἢν ἐπὶ πλεῦνας, κεφαλαλγίη καλέεται. ἢν δὲ διατρίβῃ χρόνῳ μακρῷ τὸ ἄλγημα, καὶ περιόδοισι μακρῇσι καὶ πολλῇσι, καὶ προσεπιγίγνηται μέζω τε καὶ πλεῦνον δυσαλθέα, κεφαλαίην κικλήσκομεν. ἰδέαι δὲ μυρίαι. τοῖσι μὲν γὰρ ἀΐδιος ὁ πόνος καὶ μικρὸς, ἀλλ' οὐ διαλείπων· τοῖσι δὲ, ἐς περίοδον περιπλεῖ, ὅκως τοῖσι πυρεταίνουσι ἀμφημερινὸν παρ' ἡμέρην· ἄλλοισι δ' ἀπὸ δύσιος ἐς μεσημβρίην, καὶ τῇδε τέλεον ἀποπαύεται· ἢ ἀπὸ μεσημβρίης ἐς ἑσπέρην ἢ ἐπὶ πρόσθεν ἐς νύκτα. ἥδε ἡ περίοδος οὐ κάρτα διηθύνει· καὶ τοῖσι μὲν ἡ κεφαλὴ ἀλγέει πᾶσα· καὶ ἥδε ἄλλοτε μὲν ἐπὶ δεξιά· ἄλλοτε δὲ ἐπ' ἀριστερά· ἢ μέτωπον, ἢ βρέγμα, καὶ ταῦτα ἐν τῇ αὐτῇ ἡμέρῃ ῥεμβώδεα ἐς τόπον· τοῖσι δὲ, καὶ τὰ δεξιὰ μοῦνον, ἢ τὰ λαιὰ μοῦνον. ἐς ὅσον ὅρων κρόταφος, ἢ οὖς, ἢ καὶ ὀφρὺς μία, ἢ ὀφθαλμὸς ἐς μέσφι μέσου, ἢ ῥὶς ἐς ἴσα τέμνει μοῦνον, ἐπέκεινα δὲ τὸ ἄλγημα οὐ περῇ· ἐν ἡμίσεϊ μίμνει τῷ τῆς κεφαλῆς χωρίῳ. ἑτεροκρανίη τόδε μοῦνον καλέεται· οὐκ εὐηθὲς κακὸν, κἢν διαλείπῃ, κἢν σμικρὸν ἔμμεναι δοκέῃ. ἢν γὰρ ἐμπέσῃ κοτὲ ὀξέως, αἰσχρὰ καὶ δεινὰ προσίσει· σπασμὸς καὶ διαστροφὴ τοῦ προσώπου γίγνεται· ὀφθαλμοὶ ἢ ἀτενέες κέρασι ἴκελοι πεπήγασι, ἢ τῇδε κἀκεῖσε σπασμώδεες ἔνδον εἱλῶνται σκοτοδίνως· ὀφθαλμῶν ὑπο-

ubi conspexit consumit et efficit pervertit Sens.

1. leviter 2. temporaria 3 maneat 4 magis sanatu difficilia

revertitur

ab Occasu Solis ad meridiem quo desinit Et id genus non diu infestet et vago motu alterum temporum alter oculi terminos occupat nec alteram

rigent

vertuntur

alto descendit dolor ad exilem usq. membranas

βρύχιος πόνος ἄχρι μηνίγγων. ἱδρὼς ἄσχετος· τενόντων ἐξαπίνης ἄλγος, ὡς περί τινος πατάξαντος ξύλῳ· ναυτίη, ἔμετος χολωδέων, καταπτῶσις τοῦ ἀνθρώπου· ἢν δ' ἐπιλείπῃ κοτὲ τὸ πάθος, ὥνθρωπος ἐτελεύτησε· ἢν δὲ σμικρότερον ᾖ, καὶ ἐς ὄλεθρον ἀσινὲς, χρονίζει, ὄκνος πουλὺς, καρηβαρίη, ἀπορίη, ζωὴ δύσφορος. καὶ ἀτερπέως φεύγουσι τὴν αὐγήν· σκότος δὲ πρηΰνει τουτέοισι τὴν νοῦσον· οὐ δὲ ἐσιδεῖν τι ἢ ἀκοῦσαι τερπνὸν, δύσφοροι· κακοδμοι τὴν ὄσφρησιν, καὶ οὔτε τι εὐῶδες αὐτέοις τέρπει· ἐκτρέπονται δὲ καὶ τὰ κακώδεα· ἄχθονται τῷ βίῳ, θανατῶσι ὥνθρωποι. αἰτίη δὲ τουτέων ξὺν ξηρότητι ψύξις· ἢν δὲ ἰθύνῃ καὶ ἐς μέζον ἕρπῃ ἐπὶ τοῖσι πόνοισι τὸ πάθος, σκότωμα γίγνεται.

ΠΕΡΙ ΣΚΟΤΩΜΑΤΙΚΩΝ. κεφ. γ.

Ην ζόφος τὰς ὄψιας ἔχῃ, καὶ δῖνος ἀμφὶ τὴν κεφαλὴν ἐλίσσηται, καὶ ὦτα βομβέῃ ὅκως ῥεόντων καναχηδὸν ποταμῶν, ἢ ὅκως ἄνεμος ἱστίοισι ἐγκυβρνέῃ, ἢ αὐλῶν, ἢ καὶ συρίγγων ἐνοπὴ, ἢ τελεσμοῦ ἁμάξης ἰαχὴ, ὀνομάζομεν σκότωμα τὸ πάθος, κακὸν μὲν, κἢν σύμπτωμα κεφαλῆς· κακὸν δὲ, κἢν ἐκδέξιος κεφαλαίης, ἢ ἐξ ἑωυτέης χρονίου νούσου φύῃ. ἢν γὰρ τάδε μὲν μὴ ἀπογίγνηται, μίμνῃ δὲ ἡ σκοτοδίνη, ἢ χρόνῳ μακρῷ τελεωθῇ τοῖσι ἰδίοισι συμπτώμασι οὐ τινὸς ἀκεομένου, πάθος τὸ σκότωμα γίγνεται· ἐπ' αἰτίῃ ὑγρῇ τε καὶ ψυχρῇ· ἀλλὰ καὶ ἀρχὴ παθέων ἄλλων, ἢν ἐς ἀνήκεστον τράπῃ, μανίης, μελαγχολίης, ἐπιληψίης, προσεπιγιγνομένων ἑκάστῃ τῶν ἰδίων ξυμπτωμάτων. σκοτώματος δὲ ἡ ἰδέα, βάρος τῆς κεφαλῆς, ὀφθαλμῶν μαρμαρυγαὶ ἐπὶ πολλῷ τῷ σκοτώδει· ἀγνωσίη ἑωυτέων τε καὶ τῶν πέλας· καὶ ἢν ἐπ' αὔξησι ἡ νοῦσος γίγνηται, τότε γυῖα λύονται, καὶ ἕρπονται χαμαί· ναυτίη καὶ ἔμετος φλεγ-

ματος, ἢ χολωδέων, ξανθῶν, ἢ μελάνων. εὖτε ἐπὶ μὲν ξανθῇ χολῇ, μανίαι γίγνονται· ἐπὶ δὲ τοῖσι μέλασι, μελαγχολίη· ἐπὶ δὲ τῷ φλέγματι, ἡ ἐπιληψίη. πασῶν γὰρ ἥδε νούσων ἐστί.

ΠΕΡΙ ΕΠΙΛΗΨΙΗΣ, κεφ. δ.

Ποικίλον, καὶ ἀλλόκοτον κακὸν, ἡ ἐπιληψίη, θηριῶδες μὲν ἐν παροξυσμοῖσι καὶ κάρτα ὀξὺ, καὶ ὀλέθριον. ἔκτεινε γάρ κοτε παροξυσμὸς εἷς. ἢν δὲ μελέτησι φέρῃ ὥνθρωπος, ζῇ μὲν, αἴσχεα, καὶ ὀνείδεα, καὶ ἄλγεα φέρων· ῥηϊδίως δ' οὐκ ἄπεισι ἡ νοῦσος, ἀλλὰ ἐν ἡλικίῃσι τε τῇσι κρείττοσι ἐνοικέει, καὶ ὥρῃ τῇ ὡραίῃ. ξυνδιαιτᾶται τοῖς τε παισὶ καὶ μειρακίοισι· ἐξήλαθη δέ κοτ' ὑπ' εὐτυχίης, δι' ἄλλης ἡλικίης μεζόνος, εὖτε τῷ κάλλει συνέξεισι τῆς ὥρης· ἀλλὰ καὶ τότε μετεξετέροις αἴσχεα ἀποδείξασα, ἀπόλλυσι τοὺς παῖδας φθόνῳ τοῦ κάλλεος, ἢ χροὸς ἀκρασίῃ, ἢ προσώπου διαστροφῇ, ἢ πηρώσει τινὸς αἰσθήσιος· ἢν δὲ φωλεύσῃ τὸ κακὸν ἐς ῥίζαν, οὔτε ἰητρῷ, οὔτε ἡλικίης μεταβολῇσι ἔξοδον πείθεται· ἀλλὰ ξυμβιοῖ μέσφι θανάτου. ποτὲ δὲ ἐπίπονος ἡ νοῦσος, σπασμοῖσι καὶ διαστροφῇσι μελέων τε καὶ ὄψιος. ἔτρεψε δέ κοτε καὶ γνώμην ἐς μανίην. ἀτερπὴς μὲν ἡ τοῦ παροξυσμοῦ θέη· αἰσχρὴ δὲ καὶ ἡ ἀπόληψις αὐτέου, ἐπὶ ἀφόδῳ καὶ οὔροισι, καὶ αὐτομάτῳ κοιλίῃ· ἀλλὰ καὶ ἄδοξος ἡ ξυμμορφή· δοκέει γὰρ τοῖσι ἐς τὴν σελήνην ἀλιτροῖσι ἀφικνέεσθαι ἡ νοῦσος· τοὔνεκεν ἱερὴν κικλήσκουσι τὸ πάθος· ἀτὰρ καὶ δι' ἄλλας προφάσιας, ἢ μέγεθος τοῦ κακοῦ. ἱερὸν γὰρ τὸ μέγα· ἢ ἴησιος οὐκ ἀνθρωπίνης, ἀλλὰ θείης, ἢ δαίμονος δόξης ἐς τὸν ἄνθρωπον εἰσόδου, ἢ ξυμπάντων ὁμοῦ, τήνδε ἐπίκλησιν ἱερήν. ὁκόσα μὲν οὖν ὡς ἐπὶ ὀξείῃ γίγνεται τῇ νούσῳ, πρόσθεν μοι λέλεκται· ἢν δὲ ἐν χρόνῳ μίμνῃ, οὐδὲ ἐπὶ τοῖσι διαλείμμασι ἀσινέες, νωθροὶ, ἄθυμοι, κατηφέες, δυσάνθρωποι, ἄμικτοι, οὔτε ἡλικίῃσι

μειλίχιοι, ἄγρυπνοι, δυσόνειροι πολλοῖσι ἀλλοκότοισι, ἀπόσιτοι, πέψαι κακοὶ, ἄχροοι, μολιβδώδεες, δυσμαθέες νωθρῇ γνώμης τε καὶ αἰσθήσιος, βαρυήκοοι, ἦχοι, βόμβοι ἀνὰ τὴν κεφαλήν· γλῶσσα ἀσαφὴς καὶ παράφορος· ἢ ὑπὸ τῆς διαθέσιος τῆς νούσου, ἢ ὑπὸ σπασμάτων ἐν τῇσι καταλήψεσι, σπασμώδεες· γλῶσσα μὲν στροφᾶται ἐν τῷ στόματι ποικίλως· ὑποτείνεται δέ κοτε καὶ τὴν διάνοιαν ἡ νοῦσος, ὡς τὰ πάντα μωραίνειν· ἀτὰρ καὶ τοῖσδε αἰτίη ξὺν ὑγρότητι ψῦξις.

ΠΕΡΙ ΜΕΛΑΓΧΟΛΙΗΣ, κεφ. ε.

Μέλαινα χολὴ, ἢν μὲν ὀξέσι ἄνωθεν φανεῖσα, κάρτα ὀλέθριον· κάτω δὲ ἐξιοῦσα οὐ κάρτα ἀνώλεθρον· ἐν δὲ τοῖσι χρονίοισι, ἢν μὲν ὑπίῃ κάτω, ἐς δυσεντερίην καὶ ἥπατος πόνον τελευτᾷ· γυναιξὶ δὲ κάθαρσις αὕτη τῶν ἐπιμηνίων, ἢν τὰ ἄλλα ἀνώλεθροι ἔωσι· ἢν δὲ ἄνω ῥέπῃ ἐς στόμαχον, ἢ ἐς φρένας, μελαγχολίην τεύχει. φύσας τε γὰρ ἐμποιέει, καὶ ἐρυγὰς κακώδεας, ἰχθυώδεας· διαπέμπει δὲ καὶ κάτω φύσας ψοφώδεας, ξυντρέπει δὲ καὶ τὴν γνώμην. διὰ τόδε καὶ μελαγχολικοὺς καὶ φυσώδεας τούσδε ἐκίκλησκον οἱ πρόσθεν· μετεξετέροισι δὲ οὐδὲ φῦσα, οὔτε μέλαινα χολὴ ἐγγίγνεται· ὀργὴ δὲ ἄκρητος καὶ λύπη, καὶ κατηφείη δεινή. καὶ τούσδε ὦν μελαγχολικοὺς καλέομεν, χολῆς μὲν τῆς ὀργῆς συμφραζομένης· μελαίνης δὲ, πολλῆς καὶ θηριώδεος· τεκμήριον δὲ Ὅμηρος ἔνθα φησί,

—Τοῖσι δ' ἀνέστη

Ἥρως Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων

Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι

Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην.

Τοιοίδε γίγνονται οἱ μελαγχολώδεες, οὔτ' ἂν ὑπὸ τοῦ κακοῦ κινέωνται. ἔστι δὲ ἀθυμίη ἐπὶ μιῇ φαντασίῃ, ἄνευ τε πυρετοῦ· δοκέει τε δέ μοι μανίης τε ἔμμεναι ἀρχὴ καὶ μέρος ἡ μελαγχολίη.

τοῖσι μὲν γὰρ μαινομένοισι, ἄλλοτε μὲν ἐς ὀργὴν, ἄλλοτε δὲ ἐς θυμηδίην ἡ γνώμη τρέπεται· τοῖσι δὲ μελαγχολῶσι, ἐς λύπην καὶ θυμηδίην μοῦνον. ἀτὰρ καὶ μαίνονται μὲν ἐς τὰ πλεῖστα τοῦ βίου, ἀφρονέοντες καὶ δεινὰ καὶ αἰσχρὰ πρήσσοντες· μελαγχολῶσι δὲ οὐκ ἐπὶ ἑνὶ εἴδει ἕκαστοι, ἀλλ' ἢ πρὸς φαρμακίην ὕποπτοι, ἢ ἐς ἐρημίην φεύγουσι μισανθρωπίῃ, ἢ ἐς δεισιδαιμονίην τρέπονται, ἢ μῖσος ἐπὶ τοῦ ζῆν τουτέοισι. ἢν δὲ ἐξ ἀθυμίης ἄλλοτε καὶ ἄλλοτε διάχυσις γίνηται, ἡδονὴ προσγίγνεται ἐπὶ τοῖσι πλείστοισι· οἱ δὲ, μαίνονται. ὅκως δὲ καὶ ἀπὸ ποίων χωρέων τὰ πολλὰ γίγνονται, φράσω. ἢν μὲν ἐν τοῖσι ὑποχονδρίοισι μίμνῃ, ἢ αἰτίη ἀμφὶ τὰς φρένας εἰλέεται, καὶ διεξίῃ χολὴ ἄνωθεν, ἢ κάτωθεν, μελαγχολῶσιν· ἢν δὲ καὶ κεφαλὴν ἐς ξυμπάθειαν ἄγῃ, καὶ ἀμείβεται τὸ παράλογον τῆς ὀξυθυμίης ἐς γέλωτα καὶ ἡδονὴν ἐς τὰ πολλὰ τοῦ βίου· οἱ δὲ μαίνονται αὔξῃ τῆς νούσου μᾶλλον, ἢ ἀλλαγῇ πάθεος. ἐπ' ἀμφοῖν δὲ ξηρότης αἰτίη. ἄνδρες μὲν οὖν μαίνονται καὶ μελαγχολῶσι, ἢ καὶ ἀνδρῶν ἐλάσσους· κάκιον δὲ ἀνδρῶν αἱ γυναῖκες ἐκμαίνονται· ἡλικίη, πρὸς ἀκμὴν, καὶ οἱ ἀκμάζοντες. ὥρη, θέρεος μὲν καὶ φθινοπώρου τίκτει· ἔαρ δὲ κρίνει. τεκμήρια μὲν οὖν οὐκ ἄσημα. ἢ γὰρ ἥσυχοι, ἢ συννοὶ, κατηφέες, νωθροὶ ἔασι ἀλόγως, οὐ τινὶ ἐπ' αἰτίῃ, μελαγχολίης ἀρχή. ἔτι δὲ καὶ ὀργίλοι προσγίγνονται, δύσθυμοι, ἄγρυπνοι, ἐκ τῶν ὕπνων ἐκθορυβούμενοι· ἴσχει δὲ αὐτέους καὶ τάρβος ἔκτοπον, ἢν ἐς αὔξησιν τὸ νόσημα φοιτῇ, οὔτε καὶ ὄνειροι ἀληθέες, δειματώδεες, ἐναργώδεες. ὁκόσα γὰρ ἐγρηγορότες ἔπονται οὔπω οἱ κακοὶ, τὸ δὲ ἐνύπνιον ὁρέουσι ὥρμησε· πρὸς τὸ ῥήϊδιον μεταγνῶναι εὔκολοι, αἰσχροὶ, σμικρολόγοι, ἄδωροι, καὶ μετ' οὐ πολὺ ἁπλοῖ, ἄσωτοι, πουλύδωροι, οὐκ ἀρετῇ ψυχῆς, ἀλλὰ ποικιλίῃ νοσήματος. ἢν δὲ ἐπὶ μᾶλλον τὸ κακὸν πιέζῃ, μῖσος, φυγανθρωπίη, ὀλόφυρσι ἐς κενεὰ, ζωῆς κατήγοροι· ἔρανται δὲ θανάτου. πλ

hilaritatem

aliq. relaxationis

commutatur

Moesti

vehemens Terror

avari

querulo

λοῖσι δὲ ἐς ἀναισθησίην καὶ μώρωσιν ἡ γνώμη ῥέπει, ὅκως ἀγνῶτες ἁπάντων, ἢ ἐπιλήσμονες ἑωυτέων, βίον ζώουσι ζωώδεα· ξυντρέπεται δὲ καὶ τοῦ σκήνεος ἐς πονηρὸν ἡ ἕξις· χροιὴ μελάγχλωρος, ἢν μὴ διεξίῃ κάτω ἡ χολή, ἀλλὰ ἀναχέηται ξὺν τῷ αἵματι ἐς τὸ πᾶν. βοροὶ μέν, ἰσχνοὶ δέ· ὕπνος γὰρ αὐτέοισι οὔτε πιστός, οὔτε βρωτῷ ἐγκρατέει τὰ μέλεα· ἀγρυπνίη δὲ σκίδνησι ἐς τὴν ἔξω φορήν. τοισίδεσι κοιλίη ξηρὴ οὐδὲν διεῖσα. ἢν δέ κοτε ἐκδιδῷ, ξηρά, στρογγύλα, ξὺν περιῤῥόῳ μέλανι, χολώδεα, οὖρα σμικρά, δριμέα, χολόβαφα· φυσώδεες καθ' ὑποχόνδριον, ἐρυγαὶ κακώδεες, βρομώδεες, ὡς ἐξ ἁλὸς ὀρεξαμένῃ· ἀνέπλω κοτὲ καὶ ὑγρὸν δριμὺ ξὺν χολῇ. σφυγμοὶ ὡς ἐπίπαν σμικροί, νωθροί, ἀδρανέες, πυκνοί, ἴκελοι τῷ ψύχει. λόγος ὅτι τῶν τις ὧνδε ἀνηκέστως ἔχων, κούρης ἤρα τε καὶ τῶν ἰητρῶν οὐδὲν ὠφελεόντων, ὁ ἔρως μιν ἰήσατο. δοκέω δ' ἔγωγε ἐρᾶν μὲν αὐτὸν ἀρχῆθεν· κατηφέα δὲ καὶ δύσθυμον, ἢ ὑπ' ἀτυχίης τῆς κούρης ἔμμεναι, καὶ μελαγχολικὸν δοκέειν τοῖσι δημότῃσιν. ὁ δὲ οὔτι μὲν τὸν ἔρωτα ἐγιγνώσκεν· ἐπεὶ δὲ τὸν ἔρωτα ξυνῆψε τῇ κούρῃ, παύεται τῆς κατηφείης, καὶ διασκίδνησι ὀργῆς τε καὶ λύπης· χαρμονῇ δὲ ἐξέγρετο τῆς δυσθυμίης. καθίσταται γὰρ τὴν γνώμην ἔρωτι ἰητρῷ.

ΠΕΡΙ ΜΑΝΙΗΣ. κεφ. ϛ.

Μανίης τρόποι, εἴδεσι μὲν μυρίοι· γένει δὲ μοῦνος εἷς. ἔκστασις γάρ ἐστι τὸ σύμπαν χρόνιος, ἄνευθεν πυρετοῦ. εἰ γάρ κοτε καὶ πυρετὸς ἐπιλάβοι, οὐκ ἀπὸ μανίης ἂν ἴδιος γίγνοιτο, ἀλλ' ἐκ ξυντυχίης ἄλλης. ἐκφλέγει γὰρ καὶ οἶνος ἐς παραφορὴν ἐν μέθῃ· ἐκμαίνει δὲ καὶ τῶν ἐδεστῶν μετεξέτερα, ἢ μανδραγόρη, ἢ ὑοσκύαμος, ἀλλ' οὔτι πω μανίη τάδε κικλήσκεται. ἐπὶ γὰρ ῥηϊδίου γιγνόμενα, καθίσταται τάχιον· τὸ δὲ ἔμπεδον ἡ μα-

Voraces
pellunt
[illegible]
prorumpit
imbecillis
desperatus erat
dissipat
gaudio
et tristitia
evasit
Mentis alienatio
ad desipientia
stabilis insania
a leviter oriuntur
et celeriter quiescunt

Q q^d. senectute incidit

Delir[ium]

in agendo tur[bulenta]

adhibita cura[tione] ex morbi [...]

actiores faciles

γίνεται τῇδε τῇ μανίῃ, οὐδέν τι ἴκελον ἡ λήρησις. ἡ πυρετὸς ἡ ξυμφορή. ἀϊσθήσιος γάρ ἐστι νάρκη, καὶ γνώμης νάρκωσις ἥδε τοῦ νοῦ ὑπὸ ψύξιος· μανίη δὲ θερμόν τι καὶ ξηρὸν τῇ αἰτίῃ, καὶ ταραχῶδες τῇσι πρήξεσι. ἡ μὲν γὰρ λήρησις ἀρχομένη ἀπὸ γήραος, οὔτε διαλείπει, καὶ ξυναποθνήσκει· μανίη δὲ καὶ διαλείπει καὶ μελεδῶνι ἐς τέλος ἀποπαύεται· διάλειψις δὲ ἀτελής, ἣν περὶ τῆς μανίης λόγῳ γίγνηται, οὐκ εἰκότως ἀκεομένου τοῦ κακοῦ ἰητρείῃ, ἢ τῆς ὥρης εὐκρασίῃ. μετεξετέροις γὰρ δοκέοντας ἀσινέας ἔμμεναι, ἡ ὥρη τὸ ἔαρ, ἢ ἁμαρτωλὴ διαίτης, ἢ ὀργὴ ἐκ συντυχίης ἐς ἀνάκλησιν ἤγαγε. καὶ γὰρ δὴ νοσέουσι οἱ φύσει ὀργίλοι, ὀξύθυμοι, ῥέκται, εὐμαρέες, ἱλαροὶ, παιδιώδεες· ἀτὰρ καὶ οἷσι ἐς ἐναντίην ἰδέην ἡ φύσις ῥέπει, ὁκόσοι νωθροὶ, ἐπίλυποι, βραδέες μὲν ἐκμαθεῖν· ἐπίμονοι δὲ πρὸς καμεῖν, ποτὶ καὶ μαθόντες, ἀμνήμονες, οἵδε καὶ μελαγχολῆσαι ἑτοιμότεροι· οἱ δὲ καὶ προσόθεν ἐκμαίνονται, ἀτὰρ καὶ ἡλικίης οἷσι τὸ θερμὸν καὶ αἷμα πουλὺ, οἵδε μαίνονται, τοῖσι ἀμφὶ ἥβην καὶ νέοισι, καὶ οἷσι πάντων ἡ ἀκμή· ὁκόσοισι δὲ τὸ θερμὸν ἐκ μελαίνης χολῆς ἐξάπτεται, τό, τε εἶδος ἐς ξηρὸν τρέπεται, τουτέοισι μελαγχολῆσαι ῥηΐστον. δίαιτα δὲ ἄγει, πουλυφαγίη, πλησμονὴ ἄμετρος, μέθη, λαγνείη, ἔρωτες ἀφροδισίων. ἐμάνησαν κοτὲ καὶ γυναῖκες ὑπὸ ἀκαθαρσίης τοῦ σκήνεος, εὖτε αὐτέῃσι ἀπηνδρώθησαν αἱ μῆτραι· ἄλλαι δὲ οὐ μᾶλλον δὲ ῥηϊδίως ἐκμαίνονται· μάλα δὲ χαλεπῶς ἐκμαίνονται αἵδε αἱ περιφράσιες. καὶ γὰρ ἄνδρα ἐξάπτουσι, ἢν ξυνήθη αἵματος ἔκκρισιν, ἢ χολῆς, ἢ ἱδρῶτος ἐπίσχῃ τις αἰτίη· καὶ οἷσι μὲν ἡδονὴ ἡ μανίη, γελῶσι, παίζουσι, ὀρχῶνται νυκτὸς καὶ ἡμέρης, καὶ ἐς ἀγορὴν ἀμφαδὸν, καὶ ἐστεμμένοι κοτὲ ὅκως ἐξ ἀγωνίης νικηφόροι ἔασιν· ἄλυπος τοῖσι πέλας ἡ ἰδέη· μετεξέτεροι δὲ ὑπὸ ὀργῆς ἐκμαίνονται· ἔσθ' ὅτε ἐσθῆτας τε ἐῤῥήξαντο, καὶ θεράποντας ἀπέκτειναν, καὶ ἑωυτέοισι

succendit[ur] habitus livido quo tempore maturi [...]

excret[ion]em

saltant palam

ex [...]

χρέας ἐπήνεγκαν· ἥδε καὶ τοῖς πέλας ἀκίνδυνος ἡ ξυμφορή. ἰδέαι δὲ μυρίαι, τοῖσι μὲν γε εὐφυέσι τε καὶ εὐμαθέσι, ἀστρονομίη ἀδίδακτος, φιλοσοφίη αὐτομάτη, ποίησις δῆθεν ἀπὸ μουσέων. ἴχνος γάρ τι καὶ ἐν νούσοισι εὔχρηστον ἡ εὐπαιδευσίη. τοῖσι δὲ ἀπαιδεύτοισι, ἀχθοφορείη, πηλουργίη, τέκτονες, ἢ λιθοξόοι· γίγνονται δὲ καὶ ἀλλόκοτοι φαντασίαι. ἐδεδίει γάρ τις ληκύθων ἔκπτωσιν, καὶ ἄλλος οὐκ ἔπινε, δοκέων ἑωυτὸν πλίνθον ἔμμεναι, ὡς μὴ τῷ ὑγρῷ λυθείη. μυθολογέεται δὲ καὶ τόδε, τέκτων ἤδη ἐπὶ οἴκου μὲν, σώφρων ἐργάτης ἦν, μετρῆσαι ξύλον, κόψαι, ξῦσαι, ξυγγομφῶσαι, ἁρμόσαι, ξυντελέσαι δόμον νηφαλέως, τοῖσι ἐργοδότῃσι ὁμιλῆσαι, ξυμβῆναι, ἀμείψασθαι τὰ ἔργα μισθοῦ δικαίου· ὁ δὲ ἐπὶ μὲν τοῦ χωρίου τοῦ ἔργου, ὧδε εἶχε γνώμης· ἢν δὲ ἐξίῃ κοτὲ ἐς ἀγορὴν, ἐπὶ λουτρὸν, ἢ τὴν ἑτέρην ἀνάγκην, θεὶς τὰ ὅπλα, πρῶτον ἔστενεν· εἶτα ἐπήγετο ὤμω ἐξιών· ἐπὴν δὲ ἀπῆλθε τῆς τε τῶν οἰκετῶν θέης, καὶ τοῦ ἔργου πρήξιος, καὶ τοῦ χωρίου, πάμπαν ἐξεμαίνετο· κἢν παλινδρομήσῃ τάχυ, αὖθις ἐσωφρόνεε. καὶ ἥδε τοῦ χωρίου καὶ τῆς γνώμης ἡ ἀμβολή. ἴσχουσι δὲ τὴν αἰτίην τοῦ νοσήματος, κεφαλὴ καὶ ὑποχόνδρια, ἄλλοτε μὲν ἅμα ἄμφω ἀρξάμενα· ἄλλοτε δὲ ἀλλήλοισι ξυντιμωρέοντα· τὸ δὲ κῦρος, ἐν τοῖσι σπλάγχνοισι ἐστὶ ἐπὶ μανίῃ καὶ μελαγχολίῃ, ὅκως περ ἐν τῇ κεφαλῇ καὶ τοῖσι αἰσθήσεσι τὰ πολλὰ τοῖσι φρενιτικοῖσι. οἵδε μὲν γὰρ παραισθάνονται, καὶ τὰ μὴ παρεόντα ὁρέουσι δῆθεν ὡς παρεόντα, καὶ τὰ μὴ φαινόμενα ἄλλῳ, κατ᾽ ὄψιν ἰνδάλλεται· οἱ δὲ μαινόμενοι ὁρέουσι μόνως ὡς χρὴ ὁρῆν· οὐ γιγνώσκουσι δὲ περὶ αὐτέων, ὡς χρὴ γιγνώσκειν. ἢν οὖν μέγα ᾖ τὸ κακὸν, εὐκρίνητοι, ὀξέες τὴν αἴσθησιν, ὕποπτοι, ὀργίλοι, οὐκ ἐπ᾽ αἰτίῃ οὐδενί· δύσθυμοι μὲν ἀλόγως, οἷσι ἐς σκυθρωπὸν ἡ μανίη τρέπεται· οἷσι δὲ ἐς θυμηδίην, εὔθυμοι· ἄλλοι δὲ παραλόγως ἄγρυπνοι, ἄμφω

fictilium an
fictilia for
mant
ampulla
laterem
complanare
soleiter
humeros
constringebat
mora
labem com
municant
obversantur
sensus dis
tincti
ad moerorem

Hebetatis Vultus.

ἀλλοιώδεες τὰς ὄψιας, κεφαλαλγέες, ἢ πάντως γε βάρος τῆς κεφαλῆς ξυνέστι· ἐπήκοοι δὲ, ἀλλὰ βραδίσοι τὴν γνώμην. ἐπ' ἐνίοισι γὰρ ἔασι ἤδη ἦχοι ὤτων, καὶ βόμβοι, μέχρι ἄλλης σαλπίγγων τε καὶ αὐλῶν. ἢν ἐς αὔξησιν ἡ νοῦσος γίγνηται, φυσώδεες, ἀσώδεες, βοροὶ καὶ λάβροι ἐν τῇ ἐδωδῇ. ἀγρυπνέουσι γάρ· ἀγρυπνίη δὲ βορόν. ἀτὰρ οὐδὲ ἰχνοὶ ὡς νοσέοντες· μελαγχολώντων μᾶλλον εὐσαρκίη καὶ ὕπωχροι. ἢν δέ τι τῶν σπλάγχνων ἐν φλεγμασίῃ ἢ γαστρὸς, τὴν ὄρεξιν ἢ τὴν θρέψιν ἀμβλύνει· ὀφθαλμοὶ κοῖλοι, οὐ σκαρδαμύττοντες· περὶ τῶν ὀφθαλμῶν ἰνδάλματα κυάνεα, ἢ μέλανα, οἷσιν ἐς μελαγχολίην ἡ ῥοπή· ξυνερόπεα δὲ ἐς μανίην, καὶ φοινίκεα φαντάσματα, πολλοῖσι μὲν ὡς ἀπαστράπτοντος πυρὸς, τὸ τάρβος αὐτέοις ὡς ἀπὸ σκηπτοῦ λαμβάνει· μελιζοτέροισι δὲ καὶ ἐνέρυθροι καὶ ὕφαιμοι ὀφθαλμοί. ἐπὶ κορυφῆς δὲ τοῦ κακοῦ ὀνειρώττουσι· ἀφροδισίων δὲ ἄσχετος ἐπιθυμίη, ἀτὰρ οὐδὲ ἐς τὸ ἀμφαδὸν αἰδὼς ἢ ὄκνος ὁμιλίης· νουθεσίῃ δὲ ἢ ἐπιπλήξει ἐς ὀργὴν ἐκριπισθέντες, ἐς τὸ πᾶν ἐκμαίνονται. τῶν τοίνυν ἄλλος ἄλλῃ μαίνεται· οἱ μὲν θέουσι ἀσχέτως, οὔτε ὅπως εἰδότες ἐς ταυτὰ παλινδρομέουσι· οἱ δὲ ἐς δηρὸν τοῖσι πέλας ἀφικνέονται· ἄλλοι δ' αὖ βοῶσι ὀλοφυρόμενοι ἁρπαγὴν, ἢ βίην· οἱ δὲ φυγανθρωπεύουσι ἐς ἐρημίην, σφίσι αὐτέοισι ὁμιλέοντες· ἢν δὲ ἐπ' ἄνεσιν ἥκοιεν τοῦ κακοῦ, νωθροὶ, ἥσυχοι, ἐπίλυποι. ἐς ἐπίστασιν γὰρ τῆς νούσου ἀφικνεόμενοι, ἄχθονται τῇ ξυμφορῇ.

Vorates

extenuantur

convenientes

puniceo

ΜΑΝΙΗΣ ΕΙΔΟΣ ΕΤΕΡΟΝ.

Τέμνονταί τινες τὰ μέλεα, θεοῖς ἰδίοις ὡς ἀπαιτοῦσι χαριζόμενοι εὐσεβεῖ φαντασίῃ· καὶ ἔστι τοῦ ὑπολήψιος ἡ μανίη μοῦνον, τὰ δὲ ἄλλα σωφρονέουσι. ἐγείρονται δὲ αὐλῷ καὶ θυμη-

religiose sperniciosi gratificari se existimantes 2. in persua-sione

δίη, ἢ μέθη, τῶν παρεόντων περιόδῳ. ἔνθεος ἥδε ἡ μανίη· κὴν ἀπομύωσι, εὔθυμοι, ἀκηδέες, ὡς τελεσθέντες τῷ θεῷ, ἄχροοι δὲ καὶ ἰσχνοί, καὶ ἐς μακρὸν ἀσθενέες πόνοις τῶν βραχιόνων.

ΠΕΡΙ ΠΑΡΑΛΥΣΕΩΣ. κεφ. ζ.

Αποπληξίη, παραπληγίη, πάρεσις, παράλυσις, ἅπαντα τῷ γένει ταυτά. ἢ γὰρ κινήσιος, ἢ ἁφῆς, ἢ ἀμφοῖν ἐστὶ ἔκλειψις, κοτὲ καὶ γνώμης, κοτὲ καὶ τῆς ἄλλης αἰσθήσιος. ἀλλ' ἀποπληξίη μὲν ὅλου τοῦ σκήνεος, καὶ τῆς αἰσθήσιός τε καὶ γνώμης καὶ κινήσιός ἐστι παράλυσις. τοιγαροῦν ἀποπληξίην λῦσαι, ἰσχυρὴν μὲν, ἀδύνατον· ἀσθενῆ δὲ, οὐ ῥηΐδιον· παραπληγίη δὲ, πάρεσις μὲν ἁφῆς καὶ κινήσιος, ἀλλὰ μέρεος, ἢ χειρὸς, ἢ σκέλεος· παράλυσις δὲ, ὡς ἐπίπαν, κινήσιος μοῦνον, ἐνεργείης τε πάρεσις· ἢν δὲ ἁφὴ ἐκλείπῃ μούνη κοτὲ, σπάνιον δὲ τόδε· ἀναισθησίη μᾶλλον, ἢ πάρεσις κικλήσκεται· ἢν δὲ ἀπόπληκτον ὁ Ἱπποκράτης εἴπῃ σκέλος τὸ κατ' ἴξιν, ὡς νεκρῶδες, τὸ ἄχρεῖον καὶ τὸ ἀνδηθὲς θέλει φράσαι. ὁ γὰρ ἐπὶ τῷ ξύμπαντι ἀποπληξίην ἐστὶ ἰσχυρὴ, τόδε ἐν τῷ σκέλεϊ παραπληγίην φράζει· κύστιος δὲ οὔρων σχέσιος ἢ ἀκρασίης, πάρεσις τὸ κύριον· βλεφάρων δὲ καὶ μήλων καὶ μυῶν τῶν ἐν γνάθοις καὶ γένυος ἐπὶ θάτερα παραγωγὴ, ἢν ἐπὶ σπασμῷ διασχέφηται, κυνικὸς σπασμὸς ἡ κλῆσις· ἔκλυσιν δὲ γουνάτων καὶ αἰσθήσιος πρόσκαιρον νάρκην καὶ ἄψυξίην καὶ κατάπληξιν, λιποθυμίην καλέομεν. παρείεται ὦν, ἄλλοτε μὲν μέρεα καθ' ἓν, ὀφρὺς μούνη, ἢ δάκτυλος, ἢ ἔτι μέζω, χεὶρ, σκέλος· ἄλλοτε δὲ ὁμοῦ πλεῦνα· καὶ ποτε δεξιὰ μοῦνον, ἢ ἀριστερὰ, ἢ ἰδίῃ, καὶ ἰδίῃ ξύμπαντα, ἔστ' ἀκριβὲς ἢ ἧσσον, οὐ τὰ διεστῶτα μοῦνον καὶ ὁμώνυμα, καὶ ὁμόζυγα, ὀφθαλμοὶ, χεῖρες, σκέλος· ἀλλὰ καὶ τὰ ξυμφυέα, ῥὶς, ἔστι ἴσον, καὶ γλῶσσα

μέσφι τῶν ὁρίων τοῦ μέσου, καὶ παρίσθμιον ἕν, καὶ ἰσθμός, καὶ κατάποσις ἐς ἥμισυ· δοκέω δὲ ἐγώ κοτε, καὶ στόμαχον, καὶ τὰ ἔντερα, καὶ κύστιν, καὶ τὸ παράμηκες ἔντερον ἄχρι τῆς ἀρχῆς τωὐτὸ πεπονθέναι· ἀλλὰ τὰ μὲν μέλεα τὰ ἐντὸς ἐλκέων, νοέει κρυπτὰ καὶ ἀφανέα· ἡμιτελέες δὲ καὶ αἱ ἐνέργειαι· τῇδέ μοι δοκέει καὶ ἡμιπαθέα ἔμμεναι τὰ μέρεα διχῇ ὑπὸ τῆς νούσου τετμημένα. τόδε μέντοι τὸ πρῆγμα, δίδαγμα διαφορῆς δυνάμιός τε καὶ κρίσιος πρὸς ἀριστερὰ δεξιοῖς. ἴση μὲν γὰρ καὶ ἡ προσίζουσα αἰτίη· ξυναὶ δὲ ἀμφοῖν τοῦ πάθεος αἱ προφάσιες, ἤν τε ψῦξις, ἤν τε ἀπεψίη, ἀλλὰ ἄμφω παθεῖν, ἐπὶ ἴσα ἄν· ἰσόρροπος δὲ ἡ φύσις, ὡς ἐν ἰσορρόπῳ· τωὐτὸν δὲ ἡ ἀνίσωσις, ἀδύνατον. ἢν μὲν οὖν τῆς κεφαλῆς κάτω πάθῃ τις ἀρχή, ὁκοῖόν τι τοῦ νωτιαίου μυελοῦ ἡ μῆνιγξ, τὰ ὁμώνυμα καὶ ξυναφέα παραλύεται, δεξιὰ ἐπὶ δεξιοῖσι, καὶ ἐπ' ἀριστεροῖσι λαιά· ἢν δὲ καταρχῇ κεφαλή, ἐπὶ μὲν τοῖσι δεξιοῖσι, τὰ λαιὰ παραλύεται, δεξιὰ δὲ ἐπ' ἀριστεροῖσι. αἰτίη δὲ τῶν ἀρχέων τῶν νεύρων ἡ ἐπαλλαγή. οὐ γὰρ κατ' ἴξιν τὰ δεξιὰ ἐπὶ δεξιὰ ὁδοιπορέει, μέσφι περάτων, ἀλλ' ἔμφυτα τῇ ἀρχῇ, ἕκαστα εὐθὺς ἐπ' ἐκεῖνα φοιτῇ, ἀλλήλοισι ἐπαλλαξάμενα εἰς χιασμὸν σχήματος· ἀθρόον δὲ εἰρῆσθαι, εἴτε ξύμπαντα ὁμοῦ, εἴτε μέρεα παρέεται, ἢ ξυναμφοτέρων· νεῦρα δὲ ἄλλοτε μὲν τὰ ἀπὸ κεφαλῆς πάσχει· τάδε μέντοι ἐς ἀναισθησίην ῥέπονται, ὡς ἔπος εἰπεῖν, οὐ κάρτα ῥηϊδίως ἐς ἀκινησίην· ἐξ ἑωυτέων ῥέπει τάδε. κἢν μὲν τοῖσι κινευμένοισι ξυμπαθήσῃ, πάσχει καὶ τάδε μικρὴν ἀκινησίην. ἴσχει γὰρ καὶ τὴν κίνησιν ἐξ ἑωυτέων, εἰ καὶ ἐπὶ ἧσσον φύσει· ἄλλοτε δὲ τὰ ἀπὸ μυῶν ἐς μῦας περαιούμενα, τόδε τὸ κῦρος τῆς κινήσιος ἴσχει, καὶ τοῖσι ἀπὸ τῆς κεφαλῆς προδιδοῖ. καὶ γὰρ αὐτὰ ἀπ' ἐκείνων τὸ πλεῖστον τῆς κινήσιος ἴσχει· ἴσχει δὲ καὶ ἐξ ἑωυτέων καὶ ἔλαττον· τάδε μέντοι ἀκινησίην πάσχει μᾶλλον· σπάνιον δὲ εἴ κοτε ἐξ

ἑωυτέων

ἑωυτέων εἰς ἀναισθησίην ῥέπονται, δοκεῖ καὶ μὴ εἰς τὸ πάμπαν· ἢν δὲ ξύνδεσμός τις νεύρων λυθῇ τῶν ἐξ ὀστέων πεφυκότων τινὸς, καὶ κραινόντων ἐς ὀστέα, ἢ ἐγκέφαλος, ἀκρατέα τὰ μέρεα τὰ ἐπισυρόμενα, οὐκ ἀναίσθητα γίγνεται. εἴδεα δὲ παραπληκτικὰ τάδε, ὁκότε μὲν ἐς ἔκλασιν λέλυται τὰ μέλεα, οὐδὲ παλινδρομέει ἐς κάμψιν, οὔτε μήκιστα κῶλα φαίνεται· ὁκότε δὲ κοῖλα γίγνεται, οὐδὲ ἐς μῆκος ἀποτείνεται· εἰ δὲ ἐκτανύσαι βιᾶται, ὅκως ξύλα ἱκανὰ καταξέων τὰ μέλεα, βραχύτερα ἑωυτέων γίγνεται. τάδε πάλιν ἄμφω τὰ εἴδεα, καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖσι παρθένος. καὶ γὰρ ἐκχέεται πολλὸν ἐς μέγεθος, οὔτε πλατυκορίην ὀνομάζομεν· ἀτὰρ ἠδὲ ξυνάγεται ἐς μικρὸν ἡ κούρη, οὔτε φθίσιν ἣν ἠδὲ μυδρίησιν ἐγὼ κικλήσκω· ἀλλὰ καὶ κύστις παρέεται, ἐπὶ τοῖσι ἰδίοισι ἔργοισι. ἢ γὰρ εἰς ἔκλασιν λύεται, ἢ ἀκρατὴ τὰ οὖρα ἐκχέει, ἢ ξυνειλέεται ἐς ἑωυτὴν, οὔτε ὅταν πληθῇ οὔρου οὐ δίνησιν· αἰτίαι δὲ παρέσιος μὲν, αἵδε· ἄρχονται δὲ τρώματι, πληγῇ, ψύξει, ἀπεψίῃ, λαγνείῃ, οἰνοφλυγίῃ· ἀτὰρ καὶ ψυχῆς ἀκρατέα πάθεα, ἐκπλήξιες, φόβοι, δυσθυμίαι· ἀτὰρ καὶ παιδίοισι δείματα. παρέλυσέ κοτε καὶ χρῆμα ἀδόκητον τε μέγα, καὶ γέλως ἄσβεστος μέχρι θανάτου. ἀλλὰ τάδε μὲν, ἀρχὴ προφάσιες, ὑστάτη δὲ καὶ καιρίη ψύξις ἐμφύτου θερμοῦ· ἐπὶ ὑγρότητι, ἢ ξηρότητι πάλιν ἠδὲ, καὶ δυσαλθὴς τῆς ἑτέρης πάλιν μᾶλλον· ἀτὰρ καὶ ἐπὶ τρώματι, καὶ διακοπῇ νεύρου, ἀναλθής. ἡλικίη, γέροντες, καὶ οἵδε δυσαλθέες· παιδίοισι δὲ εὐανάκλητοι· ὥρη χειμὼν, ἔαρ δεύτερον, ἔπειτα μετόπωρον, θέρος ἥκιστα. ἕξιες, οἱ παχέες κατὰ φύσιν, ὑγροὶ, ἀργοὶ, ζωώδεες. τελεσθέντα μὲν οὖν τὰ πάθεα, ἔκδηλα ἀκινησίη, καὶ ἀναισθησίη θερμοῦ τε καὶ ψυχροῦ, ἀτὰρ τε τιλμῶν καὶ κνησμῶν, καὶ ψαυσίων. σπάνιοι δὲ τε τοῖσι τὰ πέρατα ἀλγέει, ἀλλὰ ἐς ἀνάκλησιν οὐ κακίων ἡ ἀπονίη. γίγνεται μὲν οὖν ἐξαπίνης· ἢν δέ κοτε καὶ ἀρχαὶ ἴωσι ἐπι-

μήκεος, βάρος, δυσκινησίη, νάρκη, ψύξιος αἴσθησις, ἄλλοτε θάλπεος ὑπερβολὴ, ὕπνοι σμικροὶ, φαντασίαι μέζονες, εὖτε ἀθρόον παρελύθησαν· ἐπὶ δὲ κυνικῷ σπασμῷ, ἅπαντα μὲν τὰ τοῦ προσώπου μέρεα σπᾶσθαι οὐ κάρτα ξυνήθες, ἐπὶ δεξιὰ ἢ τὰ ἀριστερὰ, καὶ ἐς ἀριστερὰ τὰ δεξιὰ φοιτῇ, εὖτε καὶ τῆς γένυος ἔνθα ἢ ἔνθα ἐπὶ πολλὸν ἡ παραγωγὴ, ὅκως ἐξ ἕδρης κινουμένης τῆς γνάθου. καὶ γὰρ καὶ τοῖσί κοτε ἐξέβη τὸ ἄρθρον, εὖτε μέγα χανόντων ἐπὶ τὸ ἕτερον ἡ γένυς παρήχθη· ἴλωσις τοῦ ὀφθαλμοῦ τοῦ σιναροῦ μήλου, ξὺν τῇ ὑποκοιλίδι παλμός· πάλλεται δὲ καὶ τὸ ἄνω βλέφαρον, ἄλλοτε μὲν ξὺν τῷ ὀφθαλμῷ, ἄλλοτε δὲ μοῦνον· ξυντείνεται δὲ καὶ τὰ χείλεα ἰδίῃ ἑκάτερον· ἄλλοτε δὲ ἄμφω ξυμπεσόντα, παφλάζει. ἔστι δ' οἷς μέμυκε κάρτα, ἀθρόον δ' ἵσταται, καὶ τὸν ξυνήθεα πτυσμὸν ψοφέει. σπᾶται καὶ γλῶσσα. καὶ γὰρ ἥδε μῦς ἐστὶ καὶ νεῦρα. εὖτε πρὸς τὸν οὐρανὸν ἐς πλάτος ὅλη ἡ ξύμφυσις ἀθρόον ἀφήλατο, καὶ κλόνου πάταγον ἐποίησε· σπᾶται δὲ καὶ [illegible]ων, καὶ εἰ μὲν τὸ στόμα ξυνάγει τὰ ἔνδοθεν, ἀδόκητος ὁ πάταγος· ἢν δὲ διαστήσῃ τὸ στόμα, ὄψεαι τὴν κιονίδα, ἄλλοτε μὲν προσφυομένην ἐς πλάτος τῷ οὐρανῷ, ἄλλοτε δὲ ἀποπαλλομένην βίῃ ὠκέως σόλῳ ὁμοίως, εὖτε καὶ ἥδε παταγεῖ. ἀπάτη δέ τι ξύνεστι τοῖσι κυνικοῖσι σπασμοῖσι. δοκέει γὰρ τοῖσι θεωμένοισι τὰ ἀπαθέα, τὴν νοῦσον ἔχειν. τῇ γὰρ παρατάσει καὶ τῇ χροιῇ, καὶ τῷ τοῦ ὀφθαλμοῦ μέζονι, ὑγιέα τὰ σιναρὰ φαίνεται· ἐλέγχεται δὲ καὶ ἐν γέλωτι καὶ λαλιῇ, καὶ καταμύσει. τὰ μέν γε σιναρὰ, σπᾶται πάντα παράγω, χεῖλος ἀμειδὲς, ἀκίνητον ἐν λαλιῇ, βλέφαρον οὐκ ἐπίσχον, ὀφθαλμὸς ἀτενὴς, ἀναίσθητος ἡ ἁφή· τὰ δὲ ὑγιέα λαλεῖ, καταμύει, αἰσθάνεται, γελᾷ.

Canino convulsionis signa distortio men[ti] hic & illuc

a se invicem diducuntur

balbutt[iunt]

arcte comprimuntur simul & adducta solitum & strepitum [illegible] efficiant

Ostrei instar comissc[illegible] partem

[ad palatum secundum latitud[ine]m tota ejus contiguitas repente subsilit sonumq[ue] concussorii reddit

& oculus [3] laesa mala pervertitur

ΠΕΡΙ ΦΘΙΣΙΟΣ. κεφ. η.

ἬΝ ἐντὸς δὲ ἀπόστασις ἐν τῷ πνεύμονι φύῃ, ἢ ἐκ βηχὸς χρονίης, ἢ ἀναγωγῆς αἵματος, καὶ ἀναβήσσῃ πύον, πύη, καὶ φθίσις κικλήσκεται· ἢν δὲ θώρηξ, ἢ πλευρὸν ἐμπυήσῃ, ἐπανάγηται δὲ διὰ τοῦ πνεύμονος, ἐμπύη ἥδε τοὔνομα· ἢν δὲ ἐπὶ τοῖσι καὶ ὁ πνεύμων ἕλκος ἴσχῃ, ἀναβρωθεὶς ὑπὸ τοῦ διενεχθέντος πύου, τοὔνομα οὐκέτι ἐμπύη, ἀλλὰ φθόην μεταλαμβάνει. ξύνεστι δὲ καὶ πῦρ ξυνεχὲς, ὡς μὴ δοκέειν, λῆγον μὲν οὔκοτε, λῆθον δὲ δι' ἡμέρης ἱδρῶτι καὶ ψύξει τοῦ σκήνεος. καὶ γὰρ καὶ τὰ ἴδια φθόης ἐστὶ, ἢν ἡ θέρμη ζωπυρῇ, καὶ ἐς νύκτα ἐκλάμπῃ, ἡμέρην δὲ αὖθις ἐν τοῖσι σπλάγχνοισι φωλεύῃ· δήλη δὲ ἡ δυσφορίη, καὶ ἡ ἀδυναμίη, καὶ αἱ ξυντήξιες. ἢν γὰρ ἀπεδίδρησκε τοῦ σκήνεος δι' ἡμέρης τὸ πῦρ, πῶς οὐκ ἂν ἐσαρκοῦτό τε καὶ ἠδύνατο, καὶ εὐφόρως εἶχεν ὤνθρωπος. οὔτε γὰρ ἀνάγκῃ, ἐπὶ μᾶλλον τὰ δεινὰ αὔξεται· σφυγμοὶ μικροὶ καὶ ἀμυδροὶ, ἀγρυπνίη, ἄχροια, καὶ τἄλλα πάντα ὁκόσα οἱ πυρεταίνοντες· ἰδέαι δὲ ὑγρῶν μυξείαι, πτυελωδῶν, μελαινῶν καταχορέων, ἢ ὠχρολευκῶν, ἢ λευκοχλωρέων· πλατέων, στρογγύλων· σκληρῶν, δυσλύτων, ἢ μανῶν, λυομένων· ἢ ἀνόσμων, ἢ κακοδμέων· ἅπαντα δὲ τάδε πύου ἔασι ἰδέαι. ὁκόσοι γὰρ ἢ πυρὶ ἢ ὕδατι τὰ ὑγρὰ τεκμαίρονται, οὐ κάρτα μοι δοκέουσι φθόην οἶδε γιγνώσκειν. πιστοτέρη γὰρ ἡ ὄψις ἁπάσης ἄλλης αἰσθήσιος, οὐ τῶν ἀναγομένων μοῦνον, ἀλλὰ καὶ τοῦ εἴδεος τοῦ νοσέοντος. ἢν γὰρ καὶ δημότης ἴδῃ τὸν ἄνθρωπον ὠχρὸν, ἀδρανῆ, ἀναβήσσοντα, ξυντετηκότα, ἀβρεκέα μαντεύεται φθόην. ἀτὰρ ἤδε ὁκόσοισι μὲν ἕλκος μὲν οὐκ ἔστι ἐν πνεύμονι, ξυντετήκασι δὲ πυρετοῖσι χρονίοισι, πυκνὰ δὲ καὶ σκληρὰ καὶ ἄπλεα βήσσουσι, καὶ ἀνάγουσι οὐδὲν, καὶ τούσδε φθισικοὺς κικλήσκουσι, οὐ πάνυ ἀσήμως· ξύνεστι δὲ τοῦ θώρηκος βάρος· πνεύμων γὰρ ἄτονος, ἄση, δυσφορίη, ἀποσιτίη,

infirmus anxietas

lividum atrum
Coloris satur
ex albo pallidoq
ex viridi alboq permixti
latam rotundum durum glutinosum raram diffluens
explorant
aspectus certior
contabescunt
non absq causa

ἑσπέρῃ περίψυξις, καὶ θέρμη ἐς τὸ ἔσω· ἱδρὼς ἄχρι θώρηκος τῆς θέρμης δυσφορώτερος· βηχὸς αἱ ἀναγωγαὶ ποικίλαι, ὁκοίας ἔλεξα· φωνὴ βραγχώδης· αὐχὴν ὑπόσκολιος, ῥαδινὸς, οὐκ εὐπαράγωγος· ὁκοῖόν τι ξυντεταμένος· δάκτυλοι ἰσχνοί· τὰ δὲ ἄρθρα, παχέα· ὀστέων μούνων ἡ ἰδέη· σμύχονται γὰρ καὶ σάρκες· ὄνυχες γρυποὶ δακτύλων, αἱ κοιλίαι ῥυσαὶ, καὶ πλατέες· ὑπ' ἀσαρκίας γὰρ, οὔτε τὴν περιτονίην, οὔτε τὸ στρογγύλον ἴσχουσι· διὰ τόδε καὶ ὄνυχες γρυποί· ἥδε γὰρ ἡ ἀνακοχὴ, καὶ ἡ ὑπόστασις αὐτέων, ἥτις ἐν τῇσι κορυφῇσι πεπλησμένη· εἵνεκεν αὐτῆς ἐστὶ καὶ ὁ πόνος, ὥσπερ ἐς τὰ στερεά· ῥὶς ὀξείη, ἰσχνὴ, μῆλα ὑπερέχοντα καὶ ἐρυθρὰ, ὀφθαλμοὶ κοῖλοι στιλπνοὶ, γανόωντες, οἰδαλέοι, καὶ ὠχροὶ, ἢ πελιδνοὶ τὰ πρόσωπα. γνάθων τὰ λεπτὰ ποιεῖ ὀδοῦσι προσιζάνειν· μειδιῶσι ἴκελοι, τὰ πάντα νεκρώδεες. ὧδε καὶ τὰ πάντα ἄλλα· ἰσχνοὶ, ἄσαρκοι, βραχιόνων μύες ἄδηλοι, μαζῶν οὐδὲ ἴχνη, ἐκφανέες δὲ μοῦναι θηλαί. πλευρὰς οὐ καταλέξαι μοῦνον εὔσημον, ἀλλὰ καὶ ὅπη κραίνουσι, ἐσιδεῖν ῥηΐδιον· οὐδὲ γὰρ αἱ πρὸς τοῖς σπονδύλοις συναρθρώσιες εὐξύγκρυπτοι· δῆλαι δὲ καὶ αἱ εἰς τὸ στέρνον ἐπιβολαί· τὰ μέσα τῶν πλευρέων, κοῖλα, ῥομβοειδέα. ὡς ἐς τὴν τῶν ὀστέων περιαγωγὴν, ὑποχόνδρια λαγαρὰ, ἀνεσπασμένα, ἐπιγάστριον τῇ ῥάχει προσπεφυὲς καὶ λαγών. ἄρθρα ἐναργῆ, ἔξαρθρα, ἀσαρκώδεα, καὶ ἡ κνήμη ἰσχνόν τε καὶ βραχίων. ὑπερίσχει γὰρ ἡ ἄκανθα τῶν σπονδύλων ἡ πρόσθεν κοίλη, τῶν ἑκατέρων ἐκτετηκότων μυῶν· ὠμοπλάται ἐκφανέες ὅλαι, ὅκως πτέρυγες ὀρνίθων. τουτέοισι ἢν κοιλίη ἐκταραχθῇ, ἀνέλπιστος· ἢν δὲ ἐς ὑγιείην τρέπηται, τὰ ἐναντία τοῖσι ὀλεθρίοισι ἐπιφοιτῇ. γηραιοὶ μὲν οὖν ξυνεχέες πάσχειν· διαδιδρήσκουσι δὲ ἥκιστα· νέοι δὲ μέχρι ἀκμῆς ἀπὸ αἵματος ἀναγωγῆς φθινώδεες γίγνονται, καὶ ὑγιάζονται μὲν, οὐ ῥηϊδίως δέ· παιδία ξυνεχῶς τῇ βηχὶ μέχρι φθόης κοτὲ ῥηϊδίως

ὑγιάζεται· ἴξιες δὲ, ῥαδινοὶ, σανιδώδεες, πτερυγώδεες, ἐξεχέβρογχοι, λευκοὶ, ἀραιότεροι τὸν θώρηκα· χῶραι, δὲ ψυχραὶ καὶ ὑγραὶ, ὁκόσαι τῷ εἴδεϊ τοῦ πάθεος ἀδελφαί.

ΠΕΡΙ ΕΜΠΥΙΚΩΝ. κεφ. θ.

Οἷσι ἐν τῇσι κοιλίῃσι τοῦ ἀνθρώπου κατ' ἴξιν τοῦ θώρηκος, ἢ τὰ κάτω ὑπὸ τὸ διάφραγμα πύου ἀποστάσιες γίγνονται, ἢν μὲν ἀνάγωσι, ἔμπυοι οἵδε καλέονται· ἢν δὲ τὸ πύον διεξίῃ κάτω, ἀποστηματίαι κικλήσκονται· τὰ ἐν μὲν θώρηκι, ἐν τοῖσι ἕλκεσι, ἤτοι ἐν πλεύμονι, ἢν ἐκδέχεται φθοΐην, ἢ ὑπεζωκότι ἐν πλευρῇ, ἢ στέρνῳ, ἢ κάτω τῇ πρὸς τῇ ξυμφύσι τοῦ πνεύμονος κατ' ἀρχὴν, ἢ τῇ τοῦ θώρηκος ἄλλῃ, ξυμπάντων δὲ ἐς ἀναγωγὴν ὁδὸς τῷ πύῳ πνεύμων. ὑπὸ δὲ τὸ διάφραγμα ἐν τοῖσι σπλάγχνοισι, ἥπατι, σπληνὶ, νεφροῖσι, κύστι, ἐπὶ γυναικῶν δὲ καὶ ὑστέρῃ· ἔταμον δὲ καὶ ἐγὼ ἐν κόλῳ τινί κοτε ἀπόστασιν τὰ ἐπὶ δεξιὰ πρὸς ἥπατι· καὶ πολλόν τι ἐσσύθη ἔξω πύον· πολλὸν δὲ καὶ διὰ νεφρῶν, καὶ κύστιος ἐς ἡμέρας πλεῦνας ἐῤῥύη καὶ περιεγίνετο ὤνθρωπος. αἰτίαι δὲ ξυναὶ μὲν ἁπάντων, πληγὴ, ἀπεψίη, ψύξις, ἠδὲ ὁκοῖα τοιάδε. τοῖσι δὲ ἐν θώρηκι, βὴξ χρονίη, καὶ πλευρῖτις, καὶ περιπνευμονίη, καὶ ῥεῦμα χρόνιον· ἀτὰρ ἠδὲ ὀξείας νούσου ἐς ἕν τι τουτέων ἀπόσκηψις. τὸ δὲ ὑγρὸν, ἄλλοτε μὲν ἀεργὸν, ἀδρανὲς, ἐγκέεταί τῳ ἄγγεϊ· ἄλλοτε μὲν δριμὺ δαπτῶδες, καὶ σηπεδόνας ἐμποιέων μέσφι θανάτου. καὶ γὰρ καὶ ἰδέαι μυρίαι, ὁκόσας αὖθις φράσω. θῶυμα δὲ ὅκως ἐξ ὑμένος λεπτοῦ τε καὶ ἰσχνοῦ, βάθος οὐκ ἔχοντος τοῦ ὑπεζωκότος, τοσόνδε ῥέει πύον· πολλὸν γὰρ πολλοῖσι ξυνελέγη. αἰτίη δὲ φλεγμασίη ἀπὸ περιουσίης αἵματος, ἐφ' ᾗ παχύνεται. οὐ μὴν ἀτὰρ ἠδὲ ἐκ πολλοῦ αἵματος, πολλὸν γίγνεται ἐν μέσῳ πύον· κἢν μὲν εἴσω ῥέπῃ, αἱ πλευραὶ τὰ ὀστέα

κατὰ χώρην τὴν σφῶν αὐτέων, φθίσιν ἔλεξα πρόσθεν ἑτέρην ἔμμεναι συμβεβῶσαν κατὰ φύσιν. ἢν δὲ ἔξω ῥέπῃ, διΐσταται τὰ ὀστέα. ἐς γὰρ ἔντι τῶν μέσων πλευρῶν τῆς ἀποστάσιος ἡ κορυφὴ ἐγείρεται, εὖτε ἔνθα καὶ ἔνθα πλευρὰ παρωθεύεται. σημήϊα δὲ τὰ μὲν ἁπάντων, ξυνά· τὰ δὲ ἑκάστου, ἴδια. βάρος ἢ πόνος γε, ξυνόν. πνεύμων γὰρ ἄπονος. πυρετοὶ ἀμυδροί, ῥίγεα πρὸς ἑσπέρην, ἱδρῶτες ἐπ' ἀνέσι, ἀγρυπνίη, οἰδήματα ἐν ἄκροισι ποσὶ καὶ χειρῶν δακτύλοισι, ἄλλοτε καὶ ἄλλοτε καθιστάμενα, καὶ ἐπαιρόμενα. δυσφορίη, ἀποσιτίη, ἰσχνότης ὅλου. ἢν δὲ καὶ μῆκος ἴσχῃ ἡ μεταβολή, ἕξις φθινώδης. οὐ γὰρ ἔτι φύσις ἔργου ἔχεται. οὐ γὰρ πέψις οἰκείη πρόσθεν, οὐκ εὐσαρκίη, χροιὴ ζωώδης. ἀναπνοὴ πᾶσι μὲν κακή, κακίων δέ, ὅσοι ἐς τὴν ἄνω κοιλίην, ἀτὰρ καὶ βὴξ τὰ πρῶτα, μέσφι ὧν ἡ φλεγμασίη ἢ πέσσῃ, εὖτε καὶ πόνοι μέζονες καὶ ῥίγεα, καὶ θέρμη, καὶ ἀγρυπνίη, καὶ δύσπνοια ἔτι μᾶλλον. σφυγμοὶ μικροί, νωθροί, ἀδρανέες, τὴν γνώμην παράληροι, διάτασις τοῦ θώρηκος. ἢν δὲ ἤδη ἐς ῥῆξιν ἥκῃ πύον, πάντα μέγιστα· ἀναγωγὴ δὲ σμικρὴ ἐπὶ βηχὶ μέζονι, καὶ ἐξ ἀποστάσιος βιαίης. τὰ πρῶτα φλέγμα τῶν χολοβάφων ἐπὶ τὸ μελάντερον, ὅκως ἐξ αἰθάλης. ἔτι δὲ διαίμεον καὶ παχέων. ἢν δὲ καὶ ἐρραγῆσθαι μέλλῃ, καὶ σαρκοειδέων βαθέων. καὶ ἢν ἐῤῥαγῇ, κίνδυνος μὲν πνίξιος, ἢν πολλὸν καὶ ἀθρόον ἐκχυθῇ πύον. ἢν δ' οὖν ἐκρέῃ σχέδην, ἀβρεκέως. πύον ἢν κάτω περῆσαι θέλῃ, τὰ μὲν ἄνω μέρεα ἔνθα ἡ ἀπόστασις, ὀξὺς πόνος, κοιλίη ὑγρή, τὰ πρῶτα ὑδατώδεα ξὺν φλεγματώδεσι. ἔπειτα περίῤῥοια αἱματωδέων, καὶ αὖθις σαρκοειδέων, ἢν ἤδη ἐῤῥαγῇ. ἕπεται δὲ τουτέοισι πύον, ἢ διὰ κοιλίης, ἢ οὔρων. ἀγαθαὶ δὲ πάντων μᾶλλον, αἱ ἐς νεφροὺς καὶ κύστιας μεταλήψιες. φέρεται γὰρ, ἤν τε ἄνω, ἤν τε κάτω, χρόος πύου ποικίλον, ὠχρόν, ἢ λευκόν, ἢ τεφρίζον, ἢ πελιδνόν, ἢ μέλαν, καὶ κακῶδες ἢ ἄνοσμον, καὶ παχύτατον.

hinc atq. illic dispellit

mac. morbus

concoct. non a pure tenebricosis

sang. fuligine colorata

paulatim in tuto est

Colores pallidi albi cinerei lividi nigri e fado odore sine quovis

Pus crassissimum mediocriter habens leve aequale asperum neq. quaq. innatans carnosa

ἢ μέσως ἴσχον, ἢ λεῖον ὁμαλὸν, ἢ τρηχὺ, ἢ ἀνώμαλον, καὶ σαρκοειδέα τὰ ἐμπλέοντα, στρογγύλα, ἢ πλατέα, ῥηϊδίως ἀποπλυνόμενα, ἢ ἰξώδεα· ἀθρόον δὲ περὶ πύου εἰρῆσθαι, ὁκόσα μὲν λευκὰ, πέπονα, ἄοσμα, λεῖα, στρογγύλα, καὶ ἀναβήσσεται θᾶσσον, ἢ ὑποφέρεται, περιεστηκότα· ὁκόσα δὲ ὕπωχρα, χολώδεα, ἀνώμαλα, μοχθηρά. πολλὸν δὲ τουτέων κακίω, τὰ πελιδνὰ καὶ μέλανα. σηπεδόνα γὰρ, καὶ ἀνεσθιόμενα σημαίνουσι τὰ ἕλκεα· προσξυνιέναι δὲ τουτέοισι καὶ τὴν ἕξιν, καὶ τὰ ξυνομαρτέοντα τῇ νούσῳ. ἢν γὰρ ἐπὶ τῇ ἐκκρίσει εὐφόρως φέρῃ, ἄπυρος γίγνεται· εὖτε πέσσει, εὔχροος, εὔσιτος· ἢν ἀναβήσσῃ εὐμαρέως, εὔσφυκτος, εὔπνοος γίγνεται, ἀνώλεθρος ὁ νοσέων· ἢν δὲ ἐπιπυρεταίνῃ, καὶ πάντα ἐς κακὸν τρέπηται, ἀνέλπιστος. προσξυνιέναι δὲ καὶ τὰ χωρία, ἔνθα αἱ ἀποστάσιες· ὁκόσοισι γὰρ ἐν τῷ στέρνῳ τὸ ἐμπύημα γίγνεται, βραδέως ἀφίσταται. ψιλὰ γὰρ καὶ ἄσαρκα καὶ χονδρώδεα τὰ μέρεα· τὰ δὲ τοιάδε, οὐ ῥηϊδίως δέχεται φλεγμονῆς περιουσίην· ἀνεκπύητα δὲ μίμνει πουλὺν χρόνον· ψυχρὸν γὰρ οἱ χόνδροι. ἀλλὰ τῶν δὲ ἀσινέες μὲν αἱ φλεγμοναί· τῆς ἕξιος δὲ κακαὶ ξυντήξιες. μικρὸν γὰρ διαπυΐσκει χρόνον. σπλὴν, καὶ ἧπαρ, καὶ πνεύμων, καὶ διάφραγμα, ὀξύτερα μὲν ἐς ἐμπύην· ἐπικίνδυνα δὲ, καὶ θανατώδεα.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟΝ ΠΝΕΥμονα ἀποστάσεων. κεφ. ι.

Ἔστε ὁκόσοισι περιπνευμονικοῖσι, ἢν φλέγμα ἔῃ, ἢ μὴ διαχέηται, περιγίγνονται· οἱ δὲ διαδιδρήσκοντες τὸ κατόξυ τοῦ πάθεος, ἔμπυοι γίγνονται. τὰ μὲν οὖν μελλούσης ἢ τετελεσμένης ἀποστάσιος σημεῖα ἐν τοῖσι ἐμπύοισι ἔλεξα· ἢν δὲ τελεσθῇ, οὐ βίης καὶ πόνων ἐς ἀπόρρηξιν καὶ ἀναγωγὴν χρέος, ὅπως

quasi in solidis corporis partibus

παρ ἐν τοῖσι σώμασι· ἀλλὰ γὰρ ῥηϊδίως ἀναφέρεται, διὰ ταῖσι ἀς μᾶλλον τῶν ἀραιωσίων γινομένης, ἢ παρ' ὄξιος σωμάτων. μανὸς γὰρ καὶ πολύτρητος ὁ πνεύμων, σπογγίῃ ἴκελος, οὐ χαλεπαίνων τῷ ὑγρῷ, ἀλλ' ἢν αὐτὸ ἄλλης εὐρυχωρίην ἀμείβων τῇ μέσφι τῆς τραχείης ἀρτηρίης ἥκειν. περίοδοι δὲ τῷ ὑγρῷ ῥηΐδιαι. εὐκαμπὲς γὰρ ἤδη ὀλισθηρὸν πῦον. ἀτὰρ καὶ ἡ ἀνάπνοη ἄνω τὸ πνεῦμα φυσῆ. περιγίγνονται δὲ τὰ πολλά, εἰ μή κοτέ τις ἀναπνιγῇ ἀθρόῃ ἑλκύσει τοῦ ὑγροῦ, τῆς ἀρτηρίης οὐ δεχομένης τὸν ἠέρα πλήθεϊ τοῦ πύου. θνήσκουσι δὲ μετεξέτεροι χρόνῳ τὸν φθινώδεα καὶ τὸν ἐμπυϊκὸν τρόπον. τὰ δὲ πῦα λευκά, ἔπαφρα, σιάλῳ μεμιγμένα· ἄλλοτε δὲ αὖ τεφρώδεα, ἢ ὑπομελανίζοντα· καὶ βρογχίζον κοτὲ ἀνέπτυσαν ἐπὶ ποικίλῳ ἕλκεϊ, ἢν βάθος ἴσχῃ ἡ ἀπόστασις, εὖτε καὶ ἀπορρῶγες ἀναφέρονται τοῦ σπλάγχνου. βραγχώδεες, βραχύπνοοι, βαρύφωνοι, τὰ στήθεα σφίσιν εὐρέα γίγνεται, καὶ εὐρυτέρων τῆς ὑγρασίης δέονται· ὀφθαλμῶν τὰ μέλανα, στιλπνά· τὰ δὲ λευκά, λευκότατα, καὶ πίονα· μῆλα ἐρυθρά, φλέβες ἐν τῷ προσώπῳ κυρταί. θῶυμα δ' ἐπὶ τουτέων. τόνος μὲν γάρ, εὐσαρκίης μείζων· εὐψυχίη δὲ τόνου δυνατωτέρη.

fulget
vires superat habitum animus

ΠΕΡΙ ΑΣΘΜΑΤΟΣ. κεφ. ια.

Εἰ ἀπὸ δρόμου, καὶ γυμνασίων, καὶ παντὸς ἔργου δύσπνοεῖ ἡ ἀνάπνοη, ἆσθμα καλεῖται· καὶ ἡ νοῦσος δὲ ὀρθόπνοια, καὶ ἥδε κικλήσκεται ἆσθμα. ἐν γὰρ τοῖσι παροξυσμοῖσι, ἀσθμαίνουσι καὶ οἵδε. ὀρθόπνοιαν δὲ ἐκάλεον, οὕνεκεν ὀρθίῳ σχήματι μοῦνον ἀναπνέουσι εὐφόρως· πνὶξ γὰρ ἐν κατακλίσει. εἵνεκεν τοῦ τόνου, τοῦ ἐπὶ τῷ πνεύματι, ὀρθόπνοια τοὔνομα. ὄρθιος γὰρ ἀνατέταται ἐς ἀνάπνοιην, κἢν ὕπτιος κατακλινθῇ ὤνθρωπος, κίνδυνος πνιγῆναι. αἰτίη δὲ πλεύμονος ξυμπαθέει

11 fol.

δὲ καὶ τὰ ξυμπλέοντα ἐς ἀναπνοὴν, διάφραγμα, θώρηξ· ἢν δὲ καρδίη πάθῃ, οὔκοτε ἐς πολλὸν διαρκέσαι. τῇδε γὰρ ἡ τῆς ἀναπνοῆς καὶ τῆς ζωῆς ἀρχή. αἰτίη δὲ ψύξις καὶ ὑγρότης τοῦ πνεύματος· ὕλη δὲ, ὑγρὰ, παχέα, κολλώδεα· εὐπαθέες δὲ γυναῖκες ἀνδρῶν μᾶλλον, ὅτι περ ὑγραί τε, καὶ ψυχραί· οἱ δὲ παῖδες, τούτων περιγίγνονται ῥήϊτερον. ἡ γὰρ φύσις ἐν αὐξήσι θερμίῃ αἱ δυνατωτάτη. ἄνδρες δὲ εἰ καὶ μὴ ῥηΐδιοι παθεῖν, ἀλλὰ θνήσκουσι θᾶσσον. ἀμβολὴ δὲ θανάτου, ὅσοισι ἐν ἔργου πρήξι, ἢ ἐν εἰρίοισι πλεύμων θάλπεται καὶ διαίθεται, ὁκοῖόν τι τοῖσι τῆς τιτάνου ἐργάτῃσι, ἢ χαλκεῦσι, ἢ σιδηρεῦσι, ἢ καὶ λουτρῶν πυρσευτῆρσι. μελλισμοῦ δὲ σημήϊα, βάρος τοῦ θώρηκος, ὄκνος ἐς τὸ ξύνηθες ἔργον, ἀτὰρ ἤδε ἐς ἅπασαν πρῆξιν, δύσπνοια ἐν δρόμῳ, ἢ πρὸς ὁδὸν ὀρθίῳ· βραγχώδεες, καὶ βηχώδεες, φῦσα ἐν τοῖσι ὑποχονδρίοισι, καὶ ἐρυγαὶ περιάλογοι, ἀγρυπνίη, θερμασίη κύκλωρ σμικρὴ, ἀσαφής· ῥὶς ὀξέη, ἐς ἀναπνοὴν ἑτοίμη. ἢν δὲ ἐπὶ μεῖζον τὸ κακὸν ἕρπῃ, μῆλα ξυνέρυθρα· ὀφθαλμοὶ προπετέες, ὡς ἐπ' ἀγχόνῃ, ῥωγμὸς ἐν ἐγρηγόρσι· πολλὸν δὲ μέζων τὸ κακὸν ἐν ὕπνῳ· ὑγρὴ καὶ ἄηχος ἡ φωνή· πολλοῦ καὶ ψυχροῦ ἠέρος ἐπιθυμίη· ἐς τὸ ὕπαιθρον ἴενται. πᾶς γὰρ αὐτέοισι οἶκος ἐς ἀναπνοὴν οὐ διαρκής· ἀναπνέουσι ὄρθιοι, ὅκως ἅπαντα σπάσαι τὸν ἑλκόμενον ἠέρα ποθέοντες, ὑπὸ βαρείης δὲ τοῦ ἠέρος καὶ διοίγουσι τὸ στόμα, ὡς τῷδε μέζονι χρεόμενοι· ὠχροὶ τὰ πρόσωπα, πλὴν τῶν μήλων. τάδε γὰρ ἐρυθρῇ. ἱδρὼς περὶ μέτωπον καὶ κληῗδας· βὴξ συνεχὴς, βιαίη· ἀναγωγὴ σμικρὴ, λεπτὴ, ψυχρὴ, ἰκέλη ὁκοῖόν τι καὶ ἀφροῦ ἐπάνθισμα. τράχηλος οἰδέει πνεύματος πρήσι. ὑποχόνδρια ἀνεσπασμένα· σφυγμοὶ μικροὶ, πυκνοὶ, πιεζεύμενοι, ἰσχνὰ σκέλεα· κἢν ὑπερταθῇ τάδε, ἀπέπνιξέ κοτε ἐπιληπτικῷ τρόπῳ· ἢν δὲ ἐς ἀγαθὸν τρέπηται, βὴξ μακροτέρη, καὶ ἀραιοτέρη. ἀναγωγὴ πλεύνων τε πίων ὑγροτέρων· κοιλίης ταραχὸς,

superest
in balneis
premunt vehementer
compressus

πολλῶν ὑδατωδέων· οὔρων ἔκκρισις πολλή, κἢν ἐς ὑπόστασιν μηδὲν ἔχοι ἥκῃ, φωνὴ γεγωνοτέρη, ὕπνοι αὐτάρκεες, ὑποχονδρίων ἄνεσις· ἤν κέ ποτε πόνος ἐς μετάφρενον ἔλθῃ ἀνέσει· ἆσθμα ἀραιόν, λεῖον, κερχνῶδες. ὧδε μὲν οὖν διαδιδρήσκουσι τὸν ὄλεθρον, ἐν δὲ τῇσι ἐπανέσεσι, κἢν περιῶσι ὀρθοστάδην, τοῦ πάθεος φέρουσι ξύμβολα.

ΠΕΡΙ ΓΝΕΥΜΩΔΩΝ, κεφ. ιβ.

Ἄσθματος ἰδέη τὸ πνευμῶδες, καὶ ἀπὸ τοῦ πνεύμονος τὸ πάθος ὅκως ἐπ' ἄσθματι. ξυνὰ γὰρ καὶ τὰ παρεόντα· σμικρὸν δὲ καὶ τὸ διάφορον. δύσπνοια μὲν γὰρ καὶ βὴξ καὶ ἀγρυπνίη καὶ θέρμη ξυνά· καὶ ἀποσιτίη καὶ ἰσχνότης ὅλου. καὶ γὰρ αἰσχρὸν ὂν τὸ κακὸν ἀποτείνεται, πλέον οὐ προσωτέρω ἑνὸς ἔτεος. ἤν τε γὰρ τὸ μετόπωρον ἄρξῃ, εἰς τὸ ἔαρ ἢ τὸ θέρος ἀπογίγνονται· ἤν τε χειμῶνι, ἐς τὸ μετόπωρον τελευτῶσι τὸν βίον. πολλοὶ δὲ καὶ γέροντες ἁλῶναι ῥηΐδιοι καὶ ἀπόφρικτοι, ἁλόντες ὅσον βραχέης ῥοπῆς, ἐς δίνην θανάτου χέος· ἄγχιστα ἅπαντες ἄπνοοι, σφυγμοὶ σμικροί, πυκνοί, ἀμυδροί. ἀλλὰ τάδε μὲν ξυνὰ πρὸς τὸ ἆσθμα· ἴδια δὲ ἀναβήσσουσι ὡς ἀνάλζοντες. ματαιοπονέουσι δέ· οὐδὲν γὰρ ἀνάγουσι. εἰ δέ τι τοῦ πνεύμονος ἀπορραγείη βίῃ, σμικρόν, λευκόν, στρογγύλον, χαλαζῶδες· θώρηξ εὐρύτερος μέν, ἀδιάστροφος, ἢ δὲ ἀνέλκωτος ἦν γὰρ ἀνεκπύητος ὁ πνεύμων ᾖ, ὑγρῶν δὲ ὁκοίων τι πεπηγότων ἔμπλεως, διαλήψιες τῶν παροξυσμῶν τοῦ δὲ μέζονες. οἱ μὲν οὖν ἀπεπνίγησαν θᾶσσον, πρίν τι κάκιον ἐς τὸ πᾶν ἀποσκῆψαι· μεταξελέρουσι δὲ ἐς ὕστερον περὶ λαγόνα ἢ ἀνασάρκα τὸ πάθος τελευτᾷ.

quasi concreti infar- ciatim
a remissiones

ΠΕΡΙ ΗΠΑΤΟΣ, κεφ. ιγ.

Ἧπαρ σπλὴν ἐς γένεσιν μὲν ἰσόρροπον· δεξιὰ γὰρ ἡ δ' ἐπ' ἀριστερὰ τὰ σπλάγχνα ἰσάριθμα τῇ φύσει· ἄνισα δὲ ἐς δύναμιν καὶ ἐν ὑγιείῃ καὶ ἐν νούσοισι. ἐν ὑγιείῃ μὲν, ὅτι περ τὸ κράτος τῆς τροφῆς τὸ ἧπαρ ἴσχει. ῥίζωσις γὰρ φλεβῶν ἧπαρ· ἀτὰρ καὶ ἐν νούσοισι καὶ ἐς ὑγιείην πολλόν τι ἰσχυροτέρην ἔχει τοῦ θανάτου τὴν αἰτίην. ὁκόσον οὖν ἧπαρ ἐς ὑγιείην κρέσσον, τοσόνδε κάκιον ἐν νούσοισι. καὶ γὰρ ἐπιφλεγμαίνει θᾶσσόν τε καὶ βιαιότερον, καὶ ἀφίσταται ξυνεχέστερόν τε καὶ ὀλεθριώτερον. ἐπὶ σκίρρῳ δὲ ὠκύτερον σπληνὸς καὶ περιηγέστερον κτείνει. τὰ μὲν οὖν τῆς φλεγμασίης ἐν τοῖσι ὀξέσι ἔδειξα· ἢν δὲ ἐς πύον τρέπηται, ὀδύνη ὀξεῖα ἴσχει μέσφι κληῗδος ἢ ἄκρου ὤμου. ὑπὸ γὰρ τοῦ ἄχθεος ἕλκει τὸ διάφραγμα, ἐξ οὗ τὸ ἧπαρ ἤρτηται· τὸ δὲ διάφραγμα τοῖσι ὑπὸ τῇσι πλευρῇσι ὑμένα βρίθει. ξυνέπεται γὰρ αὐτέῳ· ὁ δὲ ἐπὶ τὴν κληῗδα ἠδὲ ἄκρω τῶν ὤμων ἀποτέταται, καὶ τάδε ξυνεφέλκεται κάτω. πῦρ δριμὺ ξὺν ῥίγεσι ἐπὶ τῇ ἀποστάσει, βὴξ ξηρὴ, οὐ μάλα πυκινὴ, χροιὴ χλοήβαφοι. ἢν δὲ κατακορέως ἔωσιν ἰκτερώδεες, τοῦ λευκοχλόου εἴδεος· ὕπνοι καθαροὶ φαντασίῃ οὐ μάλα· νηφαλέοι μὲν ἐς πάντα· ἐς ἓν δέ τι τῶν προσκαίρων ἐξαπίνης παρακοπαὶ, καὶ κατέστησαν εὐθέως· ὄγκος ὑπὸ [illegible] ἢ πλευρῇσι, ἀπάτη δὲ πολλοῖσι ὅκως περιτοναίου γίγνεται. ἀλλ' ἢν μὲν ἡ ὑπὸ τὰς νόθας ὄγκος ὀδύνῃ πιεζευμένοις, τὸ ἧπαρ οἰδέει. ἔμπλεων γὰρ ὑγρασίης. ἢν δὲ μὴ ὑπὸ τὸ ὀστέον * μίμνωσι οἰδέει, τοῦ ὑμένος τὸ σημεῖον. καὶ τοῦ μὲν περιγραφῇ καὶ τὰ ὅρια δῆλα. μετὰ γὰρ τὴν περιαγωγὴν τῶν λοβῶν ἐς λαγαρὸν τὸ ἐπιγάστριον πιέζουσα χεὶρ ἱζάνει· περιτοναίου δὲ ἀόριστος ἡ σκληρείη, καὶ τοῦ πέρατος ἡ ἀπόφυσις ἀφανής. ἢν μὲν εἴσω ἡ ἀπόστασις ῥέπῃ, πολλόν τι κρέσσον ἡ φύσις ἰῆται. ἢ γὰρ ἐς ἔντερα, ἢ ἐπὶ κύστιν τρέψει τὸ

---

quoad Generat[ionem] æquilibr[ium] / facultate / potestatem / abscedit / pondere / suspenditur / degravat / nunc adnecti- / tur b. vellit / hebidi / albidi / expertes vi- / sorum non- / s mente con- / stant nisi / c. Tumor / piessum / dolor / compressa / manu

Q ad Jugalam extremumq. humi.

a puro corroditur Q s. incisione omissa

non longe abest

πύον· ἀσινεστέρη δὲ πολλὸν ἡ ἐς κύστιν ὁδός. ἢν δὲ ἔξω ῥέπῃ, κακὸν μὲν μὴ τάμνειν. ἤν τε γὰρ οὕτως ἔῃ, ἀνεσθίεται ὑπὸ τοῦ πύου τὸ ἧπαρ, καὶ οὐκ ἐς ἀμβολὴν ὁ θάνατος. ἢν δὲ θέλῃς τάμνειν, αἱμοῤῥαγῆσαι κίνδυνος, καὶ αὐτίκα τὸν ἄνθρωπον ἐκθανεῖν. ἄσχετος γὰρ αἱμοῤῥαγίη ἐφ' ἥπατι. ἢν οὖν ἐς ἀνάγκην τομῆς καταστῇς κοτὲ, καυτῆρα ἔμπυρον διαφανέα πυρῶσαι, καὶ διῶσαι μέσφι τοῦ πύου. τωυτὸ γάρ σοι τέμνει τε καὶ καίει. καὶ ἢν περιγίγνηται, πύον ἐκρεῦσαι λευκὸν, πέπον, λεῖον, κακῶδες, ὅτι παχύ. τοῖσδε καὶ πυρετοὶ καὶ τὰ δεινὰ ξυνδιδοῖ· ῥηϊδίως τε ἀπαλλάξεται πάντα. ἢν δὲ ἐς ἔντερον τὸ πύον ἐγχέηται, ἡ γαστὴρ πρότισα μὲν ὑδατώδεα διαῤῥέει· ἔπειτα κρεῶν πλύμασι ἴκελα. αὖθις αὖ δυσεντεριώδεα ὁκοῖα ἐφ' ἕλκεσι. ἀτὰρ καὶ αἷμα φλαῦρον κοτὲ καὶ θρόμβος ἢν ἐχθῇ. φέρεται καὶ χολὴ ξανθὴ, κατακορὴς, ἢ πρασοειδὴς, καὶ ὑστάτη ἐς ὄλεθρον μέλαινα. ἢν δὲ ἀνεκπύητον τὸ ἕλκος γίγνηται, καὶ κακώδεα ἡ γαστὴρ ὁκοῖόν τι σηπεδόνα ὑπάγῃ, τροφὴ ἄπεπτος διεκθέει ὑπ' ἀκρασίης κοιλίης τε καὶ ἐντέρων. οὐ πέττει γὰρ αὖθις οὐδ' ἔχον τὸ ἧπαρ· πῦρ τε ἐπὶ τοῖσδε δριμὺ, καὶ πάντως ἐς κακὸν ἡ τροπή. σαρκῶν ξυντήξιες, σφυγμοὶ μικροὶ, δύσπνοοι· οὗτε οὐκ εἰς μακρὸν ἐτελεύτησαν τὸν βίον. μεθ' ἑτέροισι δὲ ἡ δυσεντερίη μὲν καὶ τὸ ἕλκος ἰήθη· ἐς ὕδρωπα δὲ κατέσκηψε ἡ νοῦσος. ἢν δὲ ἅπαντα ξυνδιδῷ, πύον λευκὸν, λεῖον, ὁμαλόν· ἄνοσμον γὰρ ἐκρέει ἡ γαστήρ· πέττει δὲ τὰ σιτία, εὔελπις ὥνθρωπος. ἄριστον δὲ δι' οὔρων κεκρίσθαι· ἀσφαλεστέρη δὲ καὶ ἀσινεστέρη ἥδε τοῦ πύου ὁδός. ἢν δὲ ἀπὸ τῆς φλεγμονῆς ἀνεκπύητον ᾖ τὸ ἧπαρ, ἄπορον μὲν οὐ γίγνεται, τὸν ὄγκον τε τὸν σκληρὸν ἴζον εἰς σκίῤῥον ἱδρύεται· οὗτε πόνος μὲν οὐ ξυνεχής· νωθὴς δὲ, κἢν παρῇ· ἀραιὴ δὲ καὶ θερμή· ἀποσιτίη, πικρῶν χυμῶν ἡδονὴ, γλυκέων ἀηδίη, ῥιγώδεες, ὑπόλευκοι, χλωροὶ, οἰδαλέοι ὀσφὺν καὶ πόδας. πρόσωπα ῥυσὰ, γαστὴρ ξηρὴ, διαχωρήσιες πυκ-

minuuntur sed integritas humorum quasi in eo caro tota sang. concretus e humeris porracea transmittitur

coucoqt. cibi

confirmatur

ναί. κορυφὴ γὰρ τῶν κακῶν ὕδρωψ. ἐπὶ τῷ ὕδρωπι, ἣν μὲν οὖρα πολλὰ, παχέα, ἐπίδοσιν ἔχοντα πολλὴν, ἰλυώδεα καταῤῥαγῇ, ἐλπὶς ἐκρυῆναι τὸν ὕδερον· ἢν δὲ λεπτὰ καὶ ἀνυπόστατα καὶ ὀλίγα, τῷ ὕδρωπι ξυμφορέει· ἢν δὲ μεταβάλλῃ εἰς τὸ ἀρχαῖον ἡ φύσις, καὶ καταῤῥαγῇ κοτὲ εἰς κοιλίην, ἐπὶ πολλοῖσι πάχεσι, ὑδατώδεσι καὶ τὸν ὕδρωπα ἰήσατο· σφαλερὴ δὲ ἡ τοιαύτη ἐπικουρίη. ἐπὶ γὰρ τῇσι ἀθρόῃσι κενώσεσι, ἠδὲ τῇσι ἐσχάτῃσι ξυμπτώσεσι, ἐξέθανόν κοτε ὑπ' ἀδυναμίης οἱ κάμνοντες, ὅκως ἐξ αἱμοῤῥαγίης. ἀσινέστεροι δὲ λύει ἱδρὼς, ἢν πολὺς ἐκρυῇ. οὐ πάνυ γὰρ ἰκμαλέοι οἱ ὑδρωπιώδεες. ἡ δὲ τῶν ἐν ἥπατι παθέων ἡ τελευτὴ γίγνεται· ἢν δὲ ἐμπυήσῃ τὸ ἧπαρ, * μείρακες, καὶ οἱ μέσφι ἀκμῆς, ἧσσον γυναῖκες. προφάσιες δὲ ἀκρασίη καὶ νοῦσος μακρὴ, μάλιστα ἐπὶ δυσεντερίῃ ξυντήξεσι. καὶ γὰρ δὴ καὶ τοὺς δὲ ἐκίκλησκον ξυντηκτικοὺς, τοὺς ἐπὶ ἕλκεσι ἥπατος ἰχώροις ἀποθνήσκοντας.

ΠΕΡΙ ΣΠΛΗΝΟΣ, κεφ. ιδ.

ΣΠλὴνι ξυνήθεες χρόνιον νόσημα, σκίῤῥος· ἔμπυος δὲ οὐ ῥηϊδίως γίγνεται δι' οὗ, εὖτε πόνος μὲν οὐ τρηχὺς, ὄγκος δὲ πουλὺς τῆς ἐπιπνοίης μέζων. ἐπὶ δεξιὰ γὰρ ὤφθη μέσφι τοῦ ἥπατος ὅλῃ τῇ κοινωνίῃ ἐποιδέων· τοὔνεκεν πολλοῖσι ἀπάτη γίγνεται, ὡς τοῦ δὲ οὐκ ἐόντος σπληνὸς, ἀλλὰ τοῦ ὑμένος πάθος. τὸ γὰρ γειτόναιον φλεγμαῖνον σφίσι δοκέει. ἀπηνὴς δὲ καὶ ἀπέραμνος ὅκως λίθος. τοῖσδε τὰ πολλὰ ἐπὶ σκίῤῥῳ γίγνεται σπλὴν, εὖτε καὶ ἀπορίη ξυνέστι παντελής. ἢν δὲ καὶ ἐμπυΐσκῃ, εὐαφὴς μὲν, εἴκων ἐπὶ τῇ θίξει κατὰ κορυφὴν, ἔνθα ἡ τοῦ πύου ἠλύνα· ὅπῃ δὲ ἀνεκπύητος, οὐκ εἴκει· ἄλλοτε δὲ τῇ κοιλίῃ ἅπας ἐπιχωρέῃ· τῇ δὲ κἀκεῖσε πρὸς τὰς ἀπώσιας φερόμενος, ἔστ' ἂν σμικρότερος ἐὼν, χώρην ἐς τὸ ἐμπλώειν ἴσχῃ. ταύτῃ,

quasi limi effluvium morbum hoc modo

post contentas vac.t post ultimam virium dejectionem multum humescit cutis

juvenes

asperi tumor superficie Lienis intervall. usq ad dec. occultus durus ac renitens mollior tactus cedens in vertice impulsu recedit

quando parvus st. spatium fluctuandi habuerit (ω totus lienis in ventre suspenditur

ἀπορίη μάλιστα πρὸς τῇσι ῥήξεσι. ἐπὶ δὲ τάσιος σημήϊα, πυρετοὶ, πόνοι καὶ ῥίγεα. τὰ πολλὰ γὰρ ἔασι· ἄριγοι δὲ ἐπὶ βραχίῃ θέρμῃ, καὶ ἀνώδυνοι. τῇδε καὶ λέληθέ κοτε ἐς σπλῆνα ἀπόστασις. μανὸν γὰρ καὶ ἐπαναίσθητον καὶ ἐν ὑγιῇ τὸ σπλάγχνον· οἰδαλέοι, ὑδερώδεες, μελάγχλωροι ξὺν δυσφορίῃ, ἡ δύσπνοια ὡς ἀπὸ βαρέος τοῦ θώρηκος. ἐπίδηλον γὰρ τὸ κακὸν ἄχρι τῆς ἄνω γαστὴρ πίμπλαται ὑπὸ πνεύματος πάχεος, ὁμιχλώδεος, ὑγροῦ, ὡς δοκέειν, οὐκ ἔτ' ἐόντος ὑγροῦ. βὴξ, πολλὸν θυμὸς ἐγγίγνεται, καὶ βραχέα ξηρὰ βήσσουσι, κοιλίη ἤν τι κάτω φέρῃ ὑδατώδεα, τὸ πρῶτον σμικρὸν ἐπικουφίζουσα· εἰ δὲ ἐπὶ μᾶλλον ἐκδιδῷ, ξυντήκει μὲν τὸν ἄνθρωπον· ὠφελέει δὲ οὐδὲν ἧσσον· ἢν δὲ καὶ ἐκραγῇ, πύον μὲν καθαρὸν πέπον, οὔ κοτε ἐσσύθη, ὑπόλευκον δὲ καὶ τεφροειδὲς, ἄλλοτε δὲ τρυγῶδες ἢ πελιδνόν· ἢν δὲ καὶ βαθυτέρη ἡ ἀπόστασις γένηται, καὶ μέλαν τὸ ὑγρόν· εὖτε καὶ τοῦ χυμοῦ τι τοῦ σπληνὸς ἔξεισι, συντακέντος. μετεξετέροισι δὲ καὶ ὅλα μέρεα τοῦ σπληνὸς ἠνέχθη. εὔλυτος γὰρ καὶ φύσει σπλήν. ἢν δὲ καὶ μὴ καθίσηται τῷ ἕλκεϊ, μίμνῃ δὲ ἐς πολλὸν χρόνον, ἀπόσιτοι, καχέκται, οἰδαλέοι, ἰδεῖν ἀπρεπέες, πολυελκέες πάντῃ· μάλιστα δὲ ἐς κνήμας. στρογγύλα, πελιδνὰ, κοῖλα, ῥυπαρὰ, δυσαλθέα τὰ ἕλκεα. τῇδε ἐπιξυντακέντες ὤλοντο. ἐπὶ δὲ σμικρῷ ὄγκῳ μετὰ σκληρίης, ἀντιτυπίης, ἀπονίη. διὰ τόδε πολλὸν χρόνον ζῶσι οἵδε. ἢν δὲ τοῦ πάθεος ἥττοιτο, χρεὼν ὕδρωψ, ἢ φθίσις καὶ τοῦ σκήνεος τηκεδὼν ἐπιγίνεται· ἀτὰρ ἡ δὲ ἐστὶ ὁ τρόπος τοῦ ὀλέθρου σφέας τοῦ ζῆν ἐξάγει. παιδία μὲν οὖν καὶ νέοι παθεῖν τε ῥηΐτεροι καὶ ἀπαλλαγῆναι ῥηΐτεροι· γέροντες δὲ οὐκ εὐπαθέες μὲν, διαδρῆναι δὲ ἀδυνώτατοι· ἀτὰρ καὶ πρεσβύται ἔλαθόν τινες ὑπὸ σπληνὸς διαφθαρέντες. καὶ γὰρ καὶ ἐπὶ σμικρῷ ὄγκῳ τοῦ ὀλέθρου σφίσιν ἡ ῥοπή. φέρει δὲ καὶ νοῦσος μακρὴ, φθινώδης, καὶ νέοισι ἀργίη μάλιστα, ὁκόσοισι ἀπ' ἀγρονίης ἢ γυμνασίων πολλῶν, ἄπονον τὸ σῶμα. χωρία

loca palustria aqua vitiosa

ἑλκώδεα, ὕδατα πλατέα, ἀλμυρά, βρομώδεα· ὡρῶν τὸ θηλειῶδες μετόπωρον.

ΠΕΡΙ ΙΚΤΕΡΟΥ, ΚΕΦ. ΙΕ.

Ἢν χολῆς ξανθῆς λεκιθώδεος ἢ κροκώδεος ἢ τῆς μελαγχλώρου, ἐς τὸ παντελὲς ἀνάχυσις ἀπὸ τοῦ σπλάγχνου γένηται, τὸ πάθος ἴκτερος κικλήσκεται, χαλεπὸν μὲν ἐν ὀξέσι· οὐ γὰρ μόνον πρὸ ἑβδόμης κλίνης φανὲν, ἀλλὰ καὶ μετὰ ἑβδόμην ἔκτεινε μυρίους· σπανίως δὲ ὅτε ἔκρινε πυρετὸν ἐς τέλος τὸ πάθος, ἀλλ' αὐτὸς οὐ ῥηϊδίως λύεται. ξυνίσταται δὲ οὐκ ἐπ' αἰτίῃ μοῦνον ἥπατος, ὅκως τοῖσι τῶν ἰητρῶν δοκέει, ἀλλὰ κοιλίῃ, καὶ σπληνί, καὶ νεφροῖσι, καὶ κόλῳ. καὶ ἐφ' ἥπατι μὲν ὧδε· ἢν φλεγμαίνῃ ἡμῖν ἢ σκίρρον ἴσχῃ τὸ ἧπαρ, ἄτρεπτον δὲ τὸ ἐς ἐργασίην ἔῃ, τίκτει μὲν ἐν τῷ ἥπατι χολήν· καὶ διακρίνει τήνδε ἡ ἐν ἥπατι οὖσα κύστις· ἀλλ' ἢν αἱ φέρουσαι ἐς τὸ ἔντερον τὴν χολὴν ὁδοὶ ὑπὸ τῆς φλεγμασίης, ἢ τοῦ σκίρρου φραχθῶσι, πλημμυρῇ δὲ ἡ κύστις, παλίσσυτος ἡ χολή. τῷ αἵματι οὖν μίσγεται· τὸ δὲ αἷμα, ἐς πᾶν τὸ σκῆνος φοιτέον, ἄγει τὴν χολὴν παντὶ τῷ σώματι· γίγνεται δὲ ἡ ἰδέη χολῆς· λευκὰ δὲ καὶ ἀργιλώδεα τὰ σκύβαλα. οὐ γὰρ γίγνεται χολίβαφα, ὅτι περ οὐκ ἴσχει τοῦδε τοῦ χυμοῦ τὴν ἐπιῤῥοήν· τῆσδε καὶ γαστὴρ ἐπίξηρος· οὔτε γὰρ ὑγραίνεται, οὔτε δάκνεται χολῇ· χροιὴ δὲ, τοῦ λευκοχρόου εἴδεος. ἐπὶ σπληνὶ δὲ ἢν ἴκτερος φανῇ, μελάγχλωρος· μέλαινα γὰρ αὐτέου ἡ τροφή, ὅτι περ ἐκμαγεῖόν ἐστιν αἵματος μέλανος, οὗ τὴν ἀκαθαρσίην ἐοῦσαν οὐ δέχεται, οὐδὲ ἐκπονέει νοσέων ὁ σπλήν· ἡ δὲ ξὺν τῷ αἵματι πάντῃ φοιτῇ. διὰ τόδε μελάγχλωροι ἀπὸ σπληνὸς ἴκτεροι· ἀτὰρ καὶ ἐπὶ τοῖσι σκυβάλοισι τοῖσι ξυνήθεσι, ἔτι καὶ μελαντέρῃ χροιῇ. τῆς γὰρ σπληνὸς τροφῆς τὸ περιττὸν, ἐς ἔξοδον περίττωμα γίγνεται, καὶ ἐπὶ

contrahitur [illegible] cibus non conficitur secernit obstruantur retro fluit [illegible] simulatur spec. albida detergens sordes elaborat eo vero sanguine [illegible]

Q raro evenit ut Helium perfecte judicaverit; ipse vero non ita facile discutitur

κώλῳ καὶ γαστρὶ ἴκτερος, ἢν γὰρ εἰς πέψιν ἡ γαστὴρ καὶ τῷ κώλῳ κακωθῇ. καὶ γὰρ καὶ ἐν κώλῳ πέψις, καὶ ἀπὸ τοῦδε ἡ ἐς τὸ ἧπαρ ἀναγωγὴ τροφῆς. ἢν οὖν ὠμότερον τὸ ἧπαρ τὴν ἄλλην τροφὴν λάβῃ, τὴν μὲν ἰδίην ἐργασίην πονέει· τὴν δὲ ὀθνείην, ἐᾷ. τὸ γὰρ ἐν τῇ ἀναδόσει αἷμα, τὴν ἀεργίην τὴν τοῦ κώλου ἐπέχον, διασπείρει παντὶ χεόμενον. ἀπεψίη δὲ ἡ ἐν κώλῳ, χολῆς δεῖ ἐργασίη. ὧδε καὶ ἐπὶ παντὶ γίγνεσθαι σπλάγχνῳ δυνατὸν ἴκτερον, οὐ μόνον τῶν ἐς τὸ ἧπαρ πεμπόντων τροφήν· ἀλλὰ κἢν ἀπὸ ἥπατος λαμβάνῃ. οὐ γὰρ ὀχετοῖσι αἰσθητοῖσι μοῦνον ἡ φύσις παντὶ διαπέμπει τὴν τροφὴν, ἀλλὰ πολλῷ πλέον ἀτμοῖσι, οἵπερ ἀπὸ παντὸς εἰς πᾶν ἐνεχθῆναι ῥηΐδιοι, τῆς φύσιος αὐτοῖς καὶ διὰ στερεῶν καὶ πυκινῶν ἀγούσης. γίγνονται οὖν οἱ ἀτμοὶ χολόβαφοι, καὶ χρώζουσι, ἢν ἀνίζωσι τοῦ σώματος. οὐ μὴν ἐπὶ κῶλον ἡ τῆς κοιλίης ἔκκρισις λευκή. ἀσινὲς γὰρ τὸ ἧπαρ ἐς φύσιν, καὶ ἐκροὴν ἴσχει ἐπὶ ἔντερα χολῆς. δυνατωτάτη δὲ καὶ ἡ ἐπὶ τῷ παντὶ ἕξις, ἴκτερον τεκεῖν. ἴσχει γὰρ καὶ ἐν ὅλῳ τὴν αἰτίην. ἔστι δὲ τοιήδε· παντὶ μὲν τὸ θερμὸν ἐς πέψιν, παντὶ δὲ ὑγρῶν γένεα καὶ διάκρισις, ἄλλων μὲν ἄλλη, ἑκάστῳ δὲ οἰκείη· ἐν σαρκὶ μὲν ἱδρὼς, ἐν ὀφθαλμοῖσι δὲ δάκρυον· ἐν ἄρθροισι δὲ καὶ ῥινὶ μύξα, ἐν ὠσὶ κυψελίς. ἢν οὖν ἐς ἕκαστον ἔργον τὸ θερμὸν ἐκκάμῃ, αὐτὸ μὲν ἐς δριμὺ, καὶ πυρῶδες ἐτράπη· τὰ δὲ ὑγρὰ πάντα γίγνεται χολή· πυρὸς γὰρ ἔργα πικρὰ καὶ χολόβαφα. ἢν δὲ καὶ ἐν αἵματι ἀπεψίη ξυμβῇ, γίγνεται τὸ αἷμα χολοειδὲς, σκίδναται δὲ παντὶ τρέφον· διὰ τόδε παντὶ φαίνεται χολή. δεινὸν μὲν γὰρ τὸ πάθος, φοβερὴ δὲ ἡ χροιὴ εἴδεϊ, καὶ χρυσοειδέες ἔασι τὴν χροιήν. οὐ γὰρ ἀνθρώπῳ εὐπρεπὲς, ὅ γε ἐν λίθῳ καλὸν ἔη. ὀφειλὸν δέ μοι φράζειν καὶ πόθεν τοὔνομα, πλὴν ὁκόσον τῶν χερσαίων ἰκτίδων τῶν τετραπόδων θηρίων. τοῖσι δὲ ἔασι οἱ ὦπες οἵδε. εἴδεα τοῦ πάθεος δοιά. ἢ γὰρ ἐς τὸ ξανθὸν, καὶ τὸ κροκῶδες ἐτράπη τοῦ λευκοχλώρου εἴδεος, ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν. τῶν δὲ μέν-

τοι

crudiorem
alienum autem omittit.
b. in distribuendo sanguine
h. solidas densa diduc-
Vapores Halitus
Cerumines
diffunditur in loco Nutrimenti
excepto Animalibus terrestribus
Quae Viverra appellantur
Spec. duo

τι ἡ αἰτίη. εἴδη δὲ καὶ χολῶν ἐστὶ αἰτίη. καὶ γὰρ τῆσδε ἡ μὲν ξανθὴ, λεπτὴ, διειδὴς, λεπτοτέρου εἴδεος, ἢ ἐς τὸ πελιδνὸν καὶ μέλαν· ἡ δὲ κατακορὴς, ὡς κρόκον, ἢ λέκιθον φαίνεσθαι τοῦ αὐτοῦ εἴδεος. δευτέρη δὲ μελαντέρης χροιῆς παρεστίζουσα, ἰσατώδης, μέλαινα· μυρίαι δὲ ἐν μέσῳ τῶν χροιῶν παραλλαγαί· παρὰ δὲ τὸ θερμὸν τουτέων καὶ τὰ ὑγρὰ, ἢ ξηρή. ἀτὰρ καὶ τὰ σπλάγχνα τοῦδε ἐστὶ αἴτια· ἢν ἢ ξανθὸν, ὡς τὸ ἧπαρ· ἢ πελιδνὸν, ὡς ὁ σπλήν. ἢν μὲν ἐπὶ σπλάγχνῳ τινὶ ἴκτερος γένηται, ἐπὶ ἥπατι μὲν, τὰ ἥπατος περιφανέα· ἐπὶ δὲ σπληνὶ, τὰ σπληνός. ἕκαστα δὲ τὰ τῶν ἄλλων ἑκάστου. ἢν δὲ μηδενὸς φαίνηται, τῆς ὅλης ἕξιός ἐστι ἡ πάθη. διαφαίνει δὲ καὶ τὰ ἐν τοῖσι λευκοτάτοισι ὀφθαλμοῖσι· μετώπου δὲ, πρὸς κροτάφοισι μᾶλλον τοῖσι λευκοῖσι φύσι, καὶ ἐπὶ σμικρῷ ἰκτέρῳ ἡ χροιὴ μέζων ἐπανθέει. ὁκόσοισι μὲν οὖν μέλας ὁ ἴκτερος, χροιὴν μελάγχλωροι, ῥιγώδεες, ἀδρανέες, ὄκνῳ εἴκοντες, ἄθυμοι, βρομώδεες δὲ τὴν ὀσμὴν, πικροὶ δὲ τὴν γεῦσιν, τὴν ἀναπνοὴν οὐκ εὔκολοι. γαστρὶ δακνώδεες, διαχωρήματα πρασοειδέα, ὑπομέλανα, ξηρὰ, μόλις διαχωρούμενα, οὖρα κατακορέα ἐπὶ τὸ μελάντερον· ἄπεπτοι, ἀπόσιτοι, ἄγρυπνοι, ἄθυμοι, μελαγχολώδεες. ἐπὶ δὲ τὸ λευκότερον, χροιὴν μὲν λευκόχλωροι, γνώμην δὲ φαιδρότεροι· σιτίων ἄρξασθαι μὲν ὀκνηροὶ, ἐμφαγεῖν δὲ οὐκ ἀλγεῖς, πέψαι ῥηΐδιοι τῶν πρόσθεν μᾶλλον· διαχωρέουσι λευκὰ, ξηρὰ, ἀργιλώδεα, οὐρέουσι ξανθὰ, ὠχρὰ, κροκοειδέα. ἀμφοῖν δὲ τὸ ξύμπαν σῶμα κνησμῶδες, θέρμη ἀνὰ ῥῖνας, σμικρὴ μὲν, δακνώδης δέ. ἀμύσσον τὸ χολῶδες· γεῦσις μὲν πικρῶν, οὐ πικρὴ τὸ θωῦμα, οὐ μὴν γλυκέων· γλυκέων δὲ πικρή. ἡ γὰρ ἐν τῷ σώματι χολὴ ἐνίζουσα τῇ γλώσσῃ, ἐπιπρόσθεν τῶν ἐδεστῶν ἐντυγχάνουσα, τὴν αἴσθησιν σφετερίζεται τήνδε. ἡ γὰρ γλῶσσα ἀναπιοῦσα τῆς χολῆς τῆσδε, οὐκ ἐκείνων αἰσθάνεται· καὶ τὸν μὲν πρόσθεν τὸν τῆς ἀποσιτίης χρόνον, ἀτρεμέει ἡ χολή. ἀτὰρ οὐδὲ ἡ γλῶσ-

σα τῷ ἤθεϊ ἄχθεται· ἢν δὲ ἀναζέσῃ χεύμασι ἐπιπρόσθεν τῶν ἐδεστῶν, τὴν γλῶσσαν εἶδε κενεήν. ἤν τε οὖν πικρὸν ἔῃ σιτίον, πικρῶν αἴσθησις· ἤν τε γλυκὺ, χολώδεος. φθάνει γὰρ ἡ αἴσθησις τῆς χολῆς· ἀπάτη δὲ ξυνέστι τοῖσι ἠγευμένοισι τὰ πικρὰ γλυκέα φαίνεσθαι. οὐ γὰρ οὕτως ἔχει. ἀλλ' ὅτι μὴ ἐπὶ τῷ ἰζαίνον πικρῷ πικράζεται μόνος διὰ τὸ ξυνήθες τῆς νούσου, φθατασιν γλυκάζοντος γίγνεται. ἡ αὐτὴ δὲ κατάστασις καὶ ἐν γλυκέσι, καὶ πικροῖσι χεύμασι· ἀπατηλῶν ἄρα χευμάτων προκάλυμμα ἡ χολή. ἢν μὲν οὖν μὴ ξὺν τινὸς σπλάγχνου θερμασίῃ φανῇ, ἀσινὲς μὲν ὡς ἐπίπαν· μακρότερον δέ. ἢν δὲ καὶ ἐγχρονίσῃ, καὶ ἐπιφλεγμαίνῃ σπλάγχνον, ἐς ὕδρωπα τὰ πολλὰ καὶ καχεξίην τελευτᾷ. πολλοὶ δὲ καὶ δίχα ὕδρωπος ἐκτακέντες ὤλοντο. ξυνήθες δὲ μειρακίοισι νέοισι, καὶ τοῖσι δὲ ἀσινέστερον· παιδίοισι δὲ, οὐκ ἀήθες πάγχυ· οὐ πάντῃ δὲ ἀσφαλές.

ad dulcescendo arbitrantur

ΠΕΡΙ ΚΑΧΕΞΙΗΣ, κεφ. ιϛ.

Ξυμπάντων ὁμοῦ παθέων καχεξίη ἐστί. ἅπασαι γὰρ αἱ νοῦσοι, τῆσδε ἀπότοκοι. ἀτὰρ καὶ ἥδε μούνη αὐτόθεν τῶν ἄλλων φαρμάκων ἐπίδοσιν ἔχουσα πολλὴν ἰλυώδεα, κατὰ προώζουσα γίγνεται πάθος· καὶ ἕξις μὲν κακὴ σχέδιος ξυνὴ πάντων, καὶ ξυμπτώματα πολλά, καὶ οὔνομα τόδε ξύμβολον· ἰσχνότης δὲ, ἢ ὦχρος, ἢ οἶδος, καὶ εἴ τι ἕτερον πρόσκαιρον ἀνὰ τὸ σῶμα· καχεξίη δὲ ἑνὸς μεγάλου πάθεος ἰδέη, καὶ τοῦδε τοὔνομα. ἡ γὰρ τοῦ ἀνθρώπου ἐς τὰ πάντα εὐεξίη, καὶ ἡ ἐς πέψιν, ἢ ἐς ἀνάδοσιν αἵματος γόνα· ἡ δὲ πᾶν ἔργον φύσιος, ἐφ' οἷσι εὔπνοια, εὐτονίη, εὐχροίη, τὸ πρόσθεν ὑγιείη· ἢν δὲ ἐς ἀσθενίην κακοχυμίης ἡ φύσις τραπῇ, τόδε ἐστὶν ἡ καχεξίη ἡ νοῦσος ἥδε δυσαλθής, ἥδε μήκιστον κακόν. καὶ γὰρ τίκτεται χρόνῳ μακρῷ, καὶ

Origm̄ praebet procreantur lutulenta in levi gradu ejusq. ad distributionem quoad sangm̄ procreat

sed et hic ipse, quand corpus ex malorum medicamm̄ assumptione mata lutulenta vitiatur, citra assum. affm̄ protinus ab initio morbus fit per se

οὐδὲ ἐπὶ μιῇ τοῦ σώματος κακίῃ, καὶ οὐδὲ ἐπὶ σπλάγχνῳ ἑνί· ἀλλὰ γὰρ τὴν ἁπάντων τροπὴν ἐς πονηρόν. τοιγάρτοι τὰ ἀπότοκα τοῦδε νοσήματα, ἄφυκτα γίγνεται, ὕδρωπες, ἢ φθίσιες, ἢ ξυντήξιες. καὶ γάρ τι καὶ τῆς καχεξίης περιφάσιες ἀδελφαὶ τῆς ξυντήξιος ἔασι. ἡ δὲ νοῦσος μικρὴ δυσεντερείη ξυνεχής· νούσων ὑποστροφαὶ ἐνίοισι. εὐσιτίη μὲν γάρ, καίτοι καὶ προσφέρονται πολλά· ὠμὴ δὲ καὶ ἀπέπτων ἡ ἀνάδοσις. ἐργασίη γὰρ τροφῆς ἡ ἐς πέψιν ἄπορος. αἰτίη δὲ καὶ αἱμοῤῥοΐδων ῥόου ἐπίσχεσις, ἢ ἐμέτων ξυνήθων ἀπαλλαγή· γυμνασίων ἀργίη, ἀνασμὸς ἱδρώτων, καὶ μεγάλων πόνων ῥᾳθυμίη· εὖτε τῶν παρεόντων ἕκαστον, ὡς τὸ μηδὲν οὐκ ἐπιστρέφειν· βάρος τοῦ σκήνεος, ὦχρος ἄλλοτε καὶ ἄλλοτε, γαστὴρ φυσώδης, ὀφθαλμοὶ κοῖλοι, ὕπνοι βαρέες, νωθροί. ἀλλὰ τάδε ῥεμβώδεα μὲν γιγνόμενα, νούσου ἀπειλὴν ἴσχει· ἢν δὲ ῥιζώσαντα μίμνῃ, μηδὲ ἀπιέναι ἐθέλῃ, μεγάλου κακοῦ ἐστὶ σύμβολα. ἑσταότες μέν, οἰδαλέοι, πόδας τε καὶ κνήμας· κατακλινόμενοι δέ, τὰ κεκλιμένα μηρία· κἢν ἐναλλάξῃ τὴν κατάκλισιν, τὸ εἶδος ἐπ' ἐκεῖνα φοιτῇ· ὑγροῦ τε ἢ ψυχροῦ ἐς τὸ βάρος περίοδος. ἢν γὰρ ἡ θέρμη τὸ ὑγρὸν ἐξατμίζῃ, τοῦδε οὐκ ἀναχεομένου, εἶτα καταῤῥέει. εὔσιτοι μὲν πολλῶν σιτίων· ἀδδηφάγοι κάρτα. ἀνάδοσις ταχυτέρη πέψιος, ὠμοτέρων μᾶλλον ἢ ἀπέπτων. ἐξανέργαστος δὲ ἡ θρέψις. ἀλλὰ τόδε οὐκ ἐν τῷ ὅλῳ πέσσεται ὑπὸ τῆς φύσιος. ἡ γὰρ ἐν τῇ κοιλίῃ τοῦ θερμοῦ ἀτονίη, καὶ ἐν τῷ σκήνεϊ ὁμοίη. τοιγάρτοι, οὐδὲ χρηστόν, οὐδὲ εὔχροον αἷμα γίγνεται, καὶ ἐπὴν ὠμὸν ὅλον τὸ σῶμα πλησθῇ, καὶ ἡ ἐς τὰ σιτία ὄρεξις οἴχεται. τῆς καχεξίης ὧδε μέσφι στομάχου νεμομένης, καὶ τοῦ πάθεος κορυφὴν ἴσχοντος ἤδη, οἰδαλέοι μέν, ἀδρανέες δέ, καὶ ἐς πᾶσαν πρῆξιν ἄθυμοι· κοιλίη δὲ ξηροτέρη. ἄχολα τὰ πολλά, καὶ λευκά, ῥηχέα, καὶ ὠμὰ διαχωρέουσι. τὸ σκῆνος αὖον, ἀνίδρωτες, κνησμώδεες, ὕπνος ἑδραῖος μὲν οὐδα-

auidum corpus pruriginosum

μὴν, κεκλιμένῳ δὲ νυσταγμός· βραδύπνοοι, σφυγμοὶ ἀμαυροὶ, ἀσθενέες, πυκνοί· πυκνότατοι δὲ ἐπὶ πᾶσι καὶ σμικρῇ ῥήξι. ἆσθμα δ' ἐπὶ τοῖσδε ἡ ἀναπνοή· φλέβες ἐπὶ τοῖσι κροτάφοισι ἐπηρμέναι, ἀσαρκίη τῶν πέριξ· ἀτὰρ καὶ ἐπὶ τοῖσι καρποῖσι πολὺ μέζονες διοιδέουσαι· μελάγχλωρον τὸ αἷμα. ἐπὶ τοῖσδε φθίσις, ἢ σύντηξις· ἀναπνοὴ, ἀνὰ σάρκα ὕδρωπα, ἢ τὸν ἀσκίτην ἤγαγε. καὶ τῶνδε ἄφυκτος ἡ ξυμφορά. φέρουσι δὲ ἡλικίαι, γῆρας, καὶ οὐκ ἀποδιδρήσκουσι. παῖδες ταχὺ παθεῖν τε εὔκολοι, καὶ ἀπαλλαγῆναι ῥηΐτεροι· ἀκμάζοντες οὐ πάγχυ μὲν παθεῖν ἕτοιμοι· οὐ πάμπαν δὲ ἀπαλλαγῆναι εὔκολοι. ὥρη δ' οὖν μιν φέρει τόδε, οὐδὲ ἐς μίην τελευτᾷ· ἀλλὰ φθινόπωρον μὲν κύει, χειμὼν τιθηνεῖ, ἔαρ δὲ ἐς κορυφὴν τελεσφορεῖ, θέρος δὲ κλίνει.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

χρονίων παθῶν σημειωτικὸν βιβλίον δεύτερον.

ΠΕΡΙ ΥΔΡΩΠΟΣ, κεφ. α.

ΥΔΡΩΨ ἀτερπὲς μὲν ἐσιδεῖν πάθος, χαλεπὸν δὲ καὶ παθεῖν. διαδιδρήσκουσι γὰρ τόδε πάγχυ παῦροι ὑπ' εὐτυχίης, καὶ θεῶν μᾶλλον ἢ τέχνης. τὰ γὰρ μέζονα πάντα ἰῶνται μοῦνοι θεοί. ἢ γὰρ ἐν σπλάγχνῳ καιρίῳ νόσημα φωλεῦσαν ἔτρεψε εἰς καχεξίην τὸ πᾶν, ἢ τὸ ξύμπαν σκῆνος λοιμοῦ καταρξάντος, ἐς κακοχυμίην ἤμειψε τὰ σπλάγχνα· εὖτε δ' ἀλλήλοισι ἄμφω ἐς τὸ κακὸν ξυντιμωρέει· ἄσινες δὲ οὐδὲν, ἐξ οὗ περ καὶ σμικρὴ τῇ φύσει γίγνοιτο ἂν ἐπικουρίη· ἔστι δὲ ἐς ἐπομβρίην ῥεῦμα ψυχρὸν, παχὺ, ὁκοῖον ἡ ὀμίχλη τῷ παντί· ἢ ἀπὸ ὑγρῆς καὶ ψυχρῆς αἰτίης, ἐς τοιήνδε ἕξιν ἑτεροιούσης τὸν ἄνθρωπον. οὐ γὰρ τὸ ἐν τῇ κοιλίῃ τῇ κάτω ἀγόμενον ὑγρὸν ὕδρωπα καλέομεν· ἐπεὶ οὐδὲ τὸ πάθος τῇδε ἐστὶ, ἀλλ' ὅτε ξυμ-

paucissimi
delitescens
noxa expers
humectans
permutat

Cubi utraq. vicissim inter se in Perversionem conspirant x quasi Nebula humectans
a conversio
b. in hoc loco (s[ci]l. inf. Ventre)

a Tumor

Tumor consequitur morbum

παρομαρτέει τῇ νούσῳ ὁ ὄγκος, τὸ οἶδος, ἡ χροιὴ, ἥδε ἐς τὸ ὕδωρ ξυντήκουσα ἕξις, ὕδρωψ τε ἐστὶ καὶ καλέεται. κἢν γὰρ ἐκρεύσῃ κοτὲ τὸ ὕδωρ αὐτομάτως ἔξω, ἢ τεμών τις τὸ ὑποχόνδριον ἐκχέῃ, ἐφ' ἕδρης ἔασι οἱ ὑδρωπιώδεες. ἡ μὲν οὖν πρωτίστη αἰτίη καχεξίη· ἰδέαι δὲ πλεῦναι, ἧς ἀτὰρ ὄνομα ἕτερον καὶ ἕτερον. ἢν μὲν γὰρ ἡ παρέγχυσις ἐνυγρος ἐν τῇσι λαγόνεσι ἐμπλεύσῃ, καὶ ἀπὸ τῆς προσηχήσιος ἐν τοῖσι παταγοῖσι δοκέῃ πως τυμπάνῳ, τυμπανίης κικλήσκεται· ἢν δὲ ὕδωρ ἁλὶς ἐς τὸ περιτόναιον ἐμπεριέχηται, ἐμπλεύῃ δὲ τῷ ὑγρῷ τὰ ἔντερα, καλέομεν ἐπίκλησιν ἀσκίτην· ἢν δὲ αἱ λαγόνες μὲν μηδὲν τουτέων ἴσχωσι, τὸ πᾶν δὲ παροιδαίνῃ σκῆνος, ἢν μὲν ἐπὶ λευκῷ φλέγματι καὶ παχέϊ καὶ ψυχρῷ, φλεγματίης καλέεται· ἢν δὲ ἐς χυμὸν αἱμάλωπα, ὑδατώδεα, λεπτὸν συντακῶσι αἱ σάρκες, ἀνὰ σάρκα γίγνεται ὕδρωψ. κακὴ μὲν ἡ ἑκάστου ξύστασις· οὐ κακίων δὲ πολλόν τι ἡ τῶνδε ἐπιμιξίη. τῶνδε γὰρ ἀμφὶ τὰς λαγόνας εἷς ἑνὶ τῶν ἀνὰ τὸ πᾶν ξυμβῇ γέ κοτε· χαλεπώτατος δὲ, ἢν ὁ τυμπανίας τῷ ἀνὰ σάρκα μιχθῇ. καὶ γὰρ ἰδίῃ τῶν μὲν ἀμφὶ τὰς λαγόνας, ἀσκίτου τυμπανίας χερείων· τῶν δὲ ὅλου τοῦ σκήνεος ὁ λευκοφλεγματίας, τοῦ ἀνὰ σάρκα μείων, ἐπιεικὴς μὲν ὢν, ἐν ἀπελπίστοισι, ἢν ὁμοίως ξυστῇ τῷ μείονι· κακίων δὲ εἴ τις τῶν μειόνων ἑνὶ τῶν μεζόνων ἐς τωυτὸ ξυμβῇ· ἢν δὲ ἐς ἄκρας ἡ μίξις ἀμήκηται δυοῖν μεγάλοιν, μέζον κακὸν τὸ ἔγγονον. σημεῖα δὲ μέγιστα ῥηΐστα ἰδεῖν καὶ θιγέειν καὶ εἰσακοῦσαι· ἐπὶ μὲν τῷ ἀσκίτῃ, ἰδέειν ὄγκον ἐν τῇσι λαγόσι, οἶδος ἀμφὶ τὼ πόδε· πρόσωπα δὲ καὶ βραχίονες καὶ τὰ ἄλλα ἰσχνὰ, οἰδέουσι ὄρχιές τε καὶ πόσθη, καὶ ὁ ξύμπας καυλὸς σκολιὸς ἐξ ἀνίσου τοῦ οἴδεος. θιγεῖν ἢ δὲ ἐρείσαντά τι τὴν χεῖρα καταλόγον εἰσωθεῖν. τὸ γὰρ ὑγρὸν, ἐπὶ τὰ ἄλλα μέρεα μεταῤῥέει· ἀτὰρ καὶ ἐν τῇ τι τοῦ ἀνθρώπου τῇδε ἢ τῇδε ἐπιστροφῇσι, ἐς τὰς μετακλίσιας τὸ ὑγρὸν, ὄγκον τε

c morbus cui nomen confirmatum Hydropicis

intumescat

spumosum

i.e. intercutem

levior

testiculi & praeputium

caulis tortuosus

ad inclinatum latus.

καὶ κλύδωνα ποιέει, ἐσακούειν τε καὶ τοῦ κλύδωνος. ἀλλὰ κἢν τι τὸν δάκτυλον ἐρείσῃς, ὁ χῶρος γίγνεται κοῖλος, ἐς χρόνον τε πουλὺν μίμνει κοῖλος. τὰ δὲ μὲν τὰ ἀσκίτου τυμπανίης ἐπὶ πρὸς τῇ τοῦ ὄγκου θέσει καὶ ἀκοῦσαι ἐστὶ δονέων. ἢν γὰρ πατάξῃς τῇ χειρὶ, τὸ ἐπιγάστριον δονέει οὐδὲ μεταχωρέει τὸ πνεῦμα ἐν τῇσι ἐπισχοφῇσι. πνεῦμα γὰρ, κἢν μετακλιθῇ τὸ ἀμπέχον ἄνω τε καὶ κάτω ἴσον πάντη μένει. ἢν δὲ ἐς ὁμίχλην καὶ ὕδωρ τρέπηται τὸ πνεῦμα. καὶ γὰρ ἀσκίτης ἀπὸ τυμπανίου ἀμείβεται μὲν, ἢν μὴ ἐς τέλος τραπῇ κοτὲ, ἡμιτελὴς μεταῤῥέων. ὁ δὲ ἀνάσαρκα ἤδε τοῦ λευκοῦ φλέγματος, τὰς μὲν λαγόνας ἴσχουσι κενεὰς, οἰδαλέοι ἔασι καὶ πρόσωπα καὶ βραχίονας. ἀτὰρ ἤδε ὁκόσα τοῖσι ἄλλοισι κενεὰ, τοῖσδε γίγνεται πλήρεα. φλέγμα μὲν γὰρ λευκὸν, ἐπὶ τῷ λευκῷ φλεγματία συνίσταται, ψυχρόν τε καὶ παχύ. τοῦ δὲ ἐμπίπλαται τὸ πᾶν, οἰδαίνει δὲ τὸ πρόσωπον, αὐχὴν τε καὶ βραχίονες. παχὺ δὲ τὸ ἐπιγάστριον ἀπὸ τοῦ οἴδεος. μαζοὶ δὲ ἐς ὄγκον αἴρονται, ὁκόσοι νέοι ἀκμὴν ὄντες ἐν εὐτυχίῃ τῆς ἡλικίης. ἐπὶ δὲ τῷ ἀνάσαρκα, τηκεδὼν τῆς σαρκὸς ἐς χυμὸν σαρκοειδέα, ἰχὼρ τε αἱμάλωπος, ὁκοῖος ῥέει ἀπὸ ἐντέρων ἕλκεσι. τοιόσδε καὶ ἐπὶ θλάσμασι ἀπὸ βάρεος ἐμπεσόντος, ἢν τάμῃς τι ἐπιπολὺ, ὁ χυμὸς ἐκρέει. ἡ δὲ τῶν δυεῖν ἐπιμιξίη, ἀμφοῖν ἴσα τὰ σημήϊα. ξύμπασι δὲ ὁμοῦ ξυνέσει, ὦχρος, δύσπνοια, βὴξ, ἄλλοτε καὶ ἄλλοτε νωθέες, ὄκνος πουλὺς, ἀπόσιτοι. ἢν δέ τι προσαίρωνται κἢν βραχὺ καὶ ἄφυσον, φυσώδεες, διατάσιες ὡς ἀπὸ πλησμονῆς. ἄνικμοι. διὸ οὐδὲ ἐπὶ λουτροῖσι ἰκμαλέοι. λευκοὶ, γυναικώδεες. οἱ δὲ ἀνάσαρκα, μελάγχλωροι, μελανόφλεβες. ἀσκίτῃσι μὲν καὶ τυμπανίῃσι, ἐπιφανέες καὶ εὐπρόσωποι καὶ καρποῖσι καὶ ἐπιγαστρίῳ. ἐπὶ δὲ τοῖσι ἀνὰ σάρκα καὶ τῷ φλεγματίῃ οἴδεϊ ἅπαντα κρύπτεται, ὕπνοι βαρέες, νωθροὶ, σμικροὶ, ἀψυχίη, σμικρολογίη, φιλοζωΐη. καρ-

fluctuationis sonum exaudiri potest auribus sonum resonat

mamme

carnes colliquatio. b. sanies & membris d. superficiem

madore vacat corpus sudorem elici in balneis.

parsimonia

2 vivendi cupiditas.

εἴη δὴ ἀπ' εὐθυμίης καὶ εὐελπιστίης ὅκως τοῖσι ἐν εὐτυ-
χίῃ, ἀλλ' ἐξ αὐτέου τοῦ πάθεος, οὔτι φατὸν τὴν αἰτίην θωυ-
μάσαι· τὸ δὲ μέγα. ἐπὶ μὲν γὰρ ἄλλοισι οὐ πάμπαν ὀλεθρίοι-
σι, οἱ νοσέοντες ἄθυμοι, κατηφέες, ἐρέται τοῦ θανάτου· ἐπὶ
δὲ τοῖσι εὐέλπιδές καὶ φιλόζωοι γίγνονται. ἄμφω δὲ τὰ ἐναν-
τιαλίκλοισι αἱ νοῦσοι. γίγνεται ὕδρωψ καὶ ἐξαπίνης κοτὲ ἐπ'
ἀθρόῃ ψυχροποσίῃ, ἢν ὑπὸ δίψιος ζανδὸν πολὺ ψυχρὸν ἐγχέῃ
ὕδωρ, εἶτα τὸ ὑγρὸν ἐς περιτόναιον ἐνεχθῇ· δι' ὃ δὲ τῇσι κοι-
λίῃσι τὸ ἔμφυτον θερμὸν κατεψύχθη, ἔπειτα εἰς τοὺς κενεῶ-
νας σταγόνες ἐκρέουσι, αἳ πρόσθεν εἰς διαπνοὴν ἐξηερού-
μεναι διεφορέοντο. τόδε οὖν εἰ γίγνεται, ῥηΐτερη ἡ τῶνδε
ἴησις, πρίν τι τῶν σπλάγχνων, ἢ ὅλον τὸν ἄνθρωπον παθεῖν· ἀ-
τὰρ ἤδε ἔδεσμα φυσῶδες καὶ ἀπεψίη καὶ βουπρηστις ἔτεκον
ὕδρωπας. ἔστι δὲ ξυνὸν πάντων τὸ κακὸν, ἀνδράσι, γυναικῶν
ἡλικίης πάσης, ὁκόσον ἄλλοι ἐς ἄλλο εἶδος ἔασι ὥριοι, ἀνά-
σαρκα παῖδες ἤδε τοῦ λευκοῦ φλέγματος· νέοι δὲ μέχρι ἀκ-
μῆς, οἱ κατὰ λαγόνας πλήσμιοι. γέροντες μὲν πάντα παθέειν
ἕτοιμοι, ἀπόθερμοι· ψυχρὸν γὰρ τὸ γῆρας· ἀλλ' ἐς ὑγροῦ πλῆ-
θος ἔασι ἀναίτιοι. τοῖσδε οὖν τυμπανίης ξυνήθης. ἅπαν-
τα μὲν οὖν πονηρὰ τὰ εἴδεα. τουτέστι ὕδρωψ γὰρ πάντων
τῶν νοσημάτων κακόν· ἀλλὰ τουτέων λευκοφλεγματίης μὲν εὐη-
θέστερος. πολλὴ γὰρ καὶ ποικίλη ἐπὶ τῷδε ἡ εὐτυχίη· ἱδρῶτος
ἢ οὔρων ἢ κοιλίης κοτὲ ἐπ' αὐτέοις καταῤῥάγη, λυομένης ἤδη
τῆς τοῦ ὕδρωπος ἕξιος. χαλεπὴ δὲ τυμπανίης, καὶ τοῦδε ὁ ἀνὰ
σάρκα μᾶλλον· τὸν δὲ ἰκτερὸν ἐν ὧδε πάθει ὅλον χρὴ τὸν ἄνθρω-
πον ἀλλάξαι. τόδε μέντοι, οὐδὲ θεοῖσι ῥηΐτερον. ὑδέρεια δὲ καὶ
ἐν σμικρῷ κοτὲ ἄνθρωπος, ἢ κεφαλὴν ἐπὶ ὑδροκεφάλῳ, ἢ πνεύ-
μονα μοῦνον, ἢ ἧπαρ, ἢ σπλῆνα, καὶ ἐπὶ γυναικῶν ὑστέρῃ· καὶ
τῶν ἄλλων ἤδε εὐαλθεστέρη. ἢν γὰρ τὸ στόμιον ἀνῇ ἐκ τῆς πρό-
σθεν μύσιος, ὑγρὸν μὲν εἰ ἔχοι, ἐκχέει ἔξω· ἢν δὲ πνεῦμα

patientes sunt

dejecti

copioso frigida potu 2 avide hauserit. 3. in ... guttae ... fluunt quae p... ... 4. ... inodorei

exigua parte

si osculum ex contractione relaxari coeperit intro vel humorem intro ... profundit vel spiritum si is illic retentus fuit, efflat:

ἐξεφυσήθη τόδε. ἢν δέ τι ἀνὰ σάρκα ἡ ὑστέρη πάθη, ὡς ἐπίπαν ὅλη ἡ ἄνθρωπος ὑδεριᾷ. ἰδέη δὲ ἦς ἑτέρη ὕδρωπος ἥδε γιγνώσκεται, κύστιες σμικραὶ, συχναὶ, πλήρεες ὑγροῦ, ἐγκέονται τῷ χωρίῳ ἔνθα ὁ ἀσκίτης ξυνίσταται· ἀτὰρ ἢν ἐμπλέωσι τῷ πολλῷ ὑγρῷ. τέκμαρ δέ· ἢν γὰρ πετρήνας τὸ ἐπιγάστριον ἐκ χειρὸς ἐπὶ βραχείῃ φορῇ τοῦ ὑγροῦ, ἔνδοθεν αὖ ἐπέφραξεν ἡ κύστις, κἢν τὸ ὄργανον διώσῃ, αὖθις ἐκρέει· τόδε μοῦνον τὸ εἶδος οὐκ εὔηθες. πόθεν γὰρ ἂν ἐκπέσωσι αἱ κύστιες, ὁδὸς οὐκ εὔπορος· λόγος δὲ μετεξετέροισι ὅτι ἧκόν κοτε δι' ἐντέρων τοιαίδε κύστιες· ἐγὼ δὲ οὐκ ὄπωπα, διὰ τόδε νῦν οὐδὲν γράφω. οὐδὲ γὰρ περὶ αὐτέων ὅ,τι λέξω. εἴτε γὰρ ἐκ τοῦ κόλου, ἢ τῆς γαστρὸς ἡ φορή, ὡς ὁ τρόπος τῆς ξυστάσιος. ὁδὸς γὰρ ἐς ἔξοδον ἁπάντων δι' ἕδρης εὐρέος· ἡ δὲ αὐτοῦ τοῦ ὑγροῦ τῆς ἐν λαγόνι ξυλλογῆς, ἄπιστος ἡ τῶν ἐντέρων ῥαγή. οὐ γὰρ ἀσινὲς οὐδ' ἀνώλεθρον ζωθὲν ἔντερον.

ΠΕΡΙ ΔΙΑΒΗΤΕΩ, κεφ. β.

Θῶμα τὸ διαβήτεω πάθος, οὐ κάρτα ξυνήθες ἀνθρώποισι· σαρκῶν καὶ μελέων ἐς οὖρον ἡ ξύντηξις. ὑγρὴ καὶ ψυχρὴ, ὅκως ἐν ὕδρωψι αἰτίη· ὁδὸς δὲ ἡ ξυνήθης, νεφροί τε καὶ κύστις. οὐ γὰρ διαλείπουσι οὐρέοντες. ἀλλὰ ὅκως τῶν ἐξ ἀφέσιος ὀχετῶν ἄπαυστος ἡ φορή. χρονίη μὲν ἡ τῆς νούσου φύσις, μακρῷ κυΐσκεται χρόνῳ· βραχύβιος δὲ ἄνθρωπος, ἢν ἡ κατάστασις τελεσθῇ· ὀξείη γὰρ ἡ τηκεδὼν, ταχὺς δὲ ὁ θάνατός ποτε, καὶ βίος αἰσχρὸς καὶ ἐπίπονος, δίψος ἀκρατὲς· πολυποσίη ἀνισόμετρος οὔροισι πολλοῖσι. πλέον γὰρ ἐκρέει τὸ οὖρον, καὶ οὐκ ἄν ἐπίσχοι τις αὐτέους, οὔτε πίνοντας, οὔτε οὐρέοντας. ἢν δὲ ἐπ' ἀκαρὲς ἀπίσχωσι, ἢν μὲν τοῦ πιεῖν, αὖ ἰκμοὶ μὲν τὸ στόμα, αὐαλέοι δὲ τὸ σκῆνος· τὰ δὲ σπλάγχνα καίεσθαι δοκέουσι, ἀσώδεες, ἄποροι,

ē Anxiet. & molestia agunt
b. Inaeq.s urina abund.

a. quasi igne succensa

b. extensio — οὐκ ἐς μακρὸν θνήσκουσι· πυριφλεγέες δίψαι. ἀπουρέειν δὲ τίς
c. continuerint Urinam — ἂν ἐπίσχοι τρόπος, ἢ τίς αἰσχύνη πόνου κρέσσων. ἀλλὰ κἢν ἐς μι-
κρὸν ἐγκρατέες γένωνται, παροιδέουσι ὀσφὺν, ὄρχιας, καὶ ἰσχία·
κἢν αὖθις ἀνῶσι, ἐκχέουσι μὲν τὸ οὖρον ἀλέα· τὰ δ' ἐποιδέοντα ξυν-
Deficitur — αίρεται. ξυνδίδοται γὰρ ἐς κύστιν ἡ πλημμύρα. κἢν μὲν τε-
λεσθῇ τὸ κακὸν, εὔσημον. ἐπὴν δὲ μέλλῃ, αὐχμοὶ τὸ στόμα, σί-
ελος λευκὸς, ἀφρώδης, ὅκως ἀπὸ δίψεος, καὶ οὐδέκω δίψος.
ὑποχονδρίων βάρος· αἴσθησις ἀπὸ τῆς γαστρὸς ἐς κύστιν θερ-
μης, ἢ ψύξιος, ὅκως πρόσοδος πρέοντος τοῦ νοσήματος. ἀτὰρ
ἤδε οὐρέουσι τοῦ ξυνήθεος μικρόν τι μᾶλλον· δίψος τε, ἀλλ' οὐ-
δέκω μέγα. ἢν δὲ ἐπὶ μᾶλλον αὔξηται, θέρμανσις μικρὴ μὲν,
rugosum — δακνώδης δὲ, ἀίζουσα τοῖσι σπλάγχνοισι· ἐπιγάστριον ῥυσοὶ,
ἐπίφλεβοι, ἰσχνοὶ δὲ τὴν ὅλην ἕξιν, εὖτε δὲ ἡ οὔρησις, καὶ τὸ
extremum Colem — δίψος ἐπαυξέα γίγνεται ἤδη κοτέ· κἢν ἐς ἄκρον τὸν καυλὸν ἡ
ξυναίσθησις φανῇ, εὐθὺς οὐρέουσι. τῇδέ μοι δοκέει καλέεσθαι
i.e. ac si — διαβήτης ἐπίκλησιν, ὁκοῖόν τι διαβητησέων, οὕνεκεν ἐν ᾧ σκή-
νει τὸ ὑγρὸν οὐ μίμνει, ἀλλὰ ὅκως διαβάθρῃ τῷ ἀνθρώπῳ ἐς
siphonem — ἔξοδον χρέεται· διαρκέουσι δὲ ἐς χρόνον τινὰ, εἰ καὶ μὴ κάρ-
diceres — τα πολλὸν, ὅτι πονέοντες οὐρέουσι, τηκεδὼν δὲ γίγνεται δεινή. οὔτε γὰρ
2 tanquam qui- — τι ἐκ τῆς πόσιος μέγα ἐς τὸ σκῆνος ἔρχεται, καὶ ξυναπέρ-
χεται τῶν σαρκῶν ἐς τὰ οὖρα μυεία· αἰτίη δὲ ὀξέων νούσων
dam canali. — τις ἀπόσκηψιν ἐς τόδε, καὶ ἐν κρίσι κρύβδην τὸ κακόηθες ἐγ-
κατέλιπον αἱ νοῦσοι· οὐκ ἀδόκητον δὲ δηλητήριόν κοτε τήν-
venenum — δε τὴν αἰτίην ἴσχειν τῶν ὁκόσα κύστι καὶ νεφροῖσι ἐνσκήπτει. ἀτὰρ
εἰ ἔδακε τίς ὑπὸ τῆς διψάδος, τοῖσι δὲ τοῦ ἕλκεος ἡ πάθη· δί-
inferat — ψας δὲ τὸ ἑρπετὸν θηρίον, ἢν δάκῃ τινὰ, ἄσχετον δίψος ἐξά-
πτει. πίπουσί τε ἄδδην οὐκ ἐς δίψος ἄκεος, ἀλλ' ἐς τὴν τῆς
accendit — κοιλίης πλημμύρην ἀκορέῃ ποτοῦ· ἢν δὲ ἀλγέῃ τις περιτά-
σιος τῆς κοιλίης, καὶ ἀχθέῃ, καὶ τὸ ὑγρὸν ἐπίσχῃ ἐς μικρὸν, αὖθις
ἄδδην πίνουσι διψῶντες, καὶ ἤδε τῶν κακῶν ἡ ἀμοιβὴ συν-

d: si reddant, copiose: subsidunt: q. Partes
tumida

ἁμαρτέει γὰρ ἀλλήλοισι δίψος καὶ ποτόν. ἄλλοι δὲ οὐκ οὐρέουσι· οὐδέ τις ἄλλη τοῦ πινομένου διαπνοή. τοῖσι δ' ὕδρωψ ἀκοείη μὲν ποδῶν πιτοῦ, πλημμύρῃ δὲ ὑγροῦ, ἀφεῖταί σι δὲ τῆς κοιλίης, ἐξερράγησαν ἀθρόως.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟΥΣ νεφροὺς παθῶν, κεφ. γ.

Νεφροὶ τὴν φύσιν μὲν ἀδενώδεες, χροιὴν δὲ ἐρυθρότεροι, ὁκοῖόν τι ἧπαρ μᾶλλον, ἢ μαζοὶ καὶ ὄρχιες· καὶ γὰρ καὶ οἵδε ἀδένες, ἀλλὰ λευκότεροι. σχῆμα δὲ διδύμοισι ἴκελοι, πλατέες μᾶλλον ἔασι ἅμα καὶ καμπύλοι. κοιλίαι δὲ σμικραὶ, ἰσθμοειδέες ἐς τὴν τῶν οὔρων διήθησιν· ἐκπεφύκασι δὲ ὀχετοὶ νευρώδεες, ὁκοῖόν τι αὐλοὶ ἀφ' ἑκατέρου. ἐμπεφύκασι δὲ οἵδε τοῖσι ὤμοισι τῆς κύστιος ἑκατέρωθεν· ἴσῃ δὲ τῶν οὔρων ἀπὸ νεφρῶν ἡ ὁδὸς ἐς κύστιν· ἀμφὶ δὲ τοῖσδε τοῖς νεφροῖς καὶ τοῖς πόροις τοῖσδε, πολλὰ καὶ ποικίλα γίγνεται πάθεα, τὰ μὲν ὀξέα, ἐν αἱμορραγίῃ καὶ πυρετοῖσι, καὶ φλεγμονῇσι κτείνοντα, ὁκόσα μοι λέλεκται· τὰ δὲ χρόνια τηκεδόνι λύοντα τὸν ἄνθρωπον, ἀνώλεθρα μὲν, ἀηδέα δὲ καὶ ξυναποθνήσκοντα. χρόνια οὖν, ἀποστάσιες, ἕλκεα, λίθων γόνα, αἱμορροΐδες. ἕλκεα μὲν ἐξ ἀποστάσιος, μήκιστα καὶ δυσαλθέα πάντα τοῦ ἀνθρώπου. τῶν λίθων δὲ, χρονίη μὲν ἡ γόνα· ὀδυνώδεες σφηνώσιες. οὐ γὰρ ῥηϊδίη ἡ διέξοδος· χαλεπὴ δὲ οἱ πρὸς τοῖσι καὶ ἡ τῶν οὔρων ἐπίσχεσις. ἀλλ' εἰ εἰσὶ πολλοὶ σμικροὶ, ἀλληλουχίῃ μίμνουσι· ἢν εἷς μέγας ἐμφραχθῇ, καὶ ἐπ' ἀμφοῖν τοῖν νεφροῖν ξυμβῇ τάδε, ἐς οὔρων σχέσιν, καὶ διάτασιν, ὀλιγήμεροι θνήσκουσι. εἴ τι μέντοι ἡ φύσις ἐπιμήκεα καὶ ἰσομεγέθεα τοῖσι οὐρητῆρσι τὴν κοιλίην τῶν νεφρῶν τεύξασα, σμικροῖς ἄρα μέζονα· ὅκως αὖ ἰὼν αὖθις συστῇ λίθος, ῥηΐστην ὁδὸν τὴν ἐς κύστιν ἴσχῃ. διὰ τόδε καὶ ἐπιμήκεες οἱ

λίθοι γίγνονται· πρὸς γὰρ τοῖσι οὐρητῆρσι τὰ πολλὰ πήγνυνται· καὶ ὁκόσοι τῇδε ἐς πάχος ἄνισοι, λεπτοὶ μὲν ἔασι τὰ πρόσω, διὰ τοὺς οὐρητῆρας στενοτέρους ἐόντας· παχέες δὲ, διὰ τὸ τοὺς νεφροὺς κάτω ῥεῖν. ἐγγίγνονται δὲ τοῖσι νεφροῖσι μοῦνον· ἀλλὰ τοῖσι διαπύροισι. οὐδὲ ἕδρην γὰρ ἐν τοῖσι οὐρητῆρσι, οὐκ ἴσχουσι οἱ λίθοι, ἀλλὰ τὰ ψαμμία σὺν τοῖσι οὐρητῆρσι κάτω διαπλέει· τάπερ τε σημήϊα καὶ ὕλη τοῦ πάθεος γίγνεται. ἢν δὲ ἐμφραχθῇ κοτὲ τῇ κοιλίῃ μέζων τελεωθεὶς, πόνοι τῆς ὀσφύος ἀμφὶ τὰς ψόας μέσφι τῶν μέσων πλευρέων. πολλοῖσι γοῦν ἀπάτη πόνου, ὡς ἀπὸ πλευρίτιδος· βάρος ἰσχίου, κατὰ ῥάχιν δυσκαμπέες, ξυννεῦσαι χαλεπῶς· ἐπώδυνοι στρόφοι, βαρέες, ἀνέκλιστοι. τὸ γὰρ ἑλικοειδὲς ἔντερον· ἢν καὶ πλημμύρῃ τὸ οὖρον τε διατάσιες, προθυμίη ἀπουρήσιος ὅκως περ ὠδίνων· φυσώδεες, ἀδιέξοδοι δὲ αἱ φῦσαι, πυρετοὶ δακνώδεες, ἐπίξηροι. ἀναλέη μὲν γλῶσσα, ξηρὴ δὲ ἡ κοιλίη· ἰσχνοὶ, ἀπόσιτοι· κἢν τι προσαίρωνται, οὔτε πέψαι, οὔτε ἀναλαβεῖν ῥηΐδιοι. ἢν δὲ ἐς τὸν οὐρητῆρα ὁ λίθος ἐμπέσῃ, βρασμὸς ὡς ἀπὸ ῥίγεος, αἴσθησις τοῦ λίθου ὁδοιπορέοντος ξυνῷ ὁμοβιαίῳ, κἢν ἐς τὴν κύστιν ἐμπέσῃ, οὐρῶν δῆλις ὑδατωδέων ἔκχυσις, κοιλίης ἔξοδοι, φῦσαι, φυσώδεες, στομάχου κατάστασις, ἐρεύξιες, ἀνάπαυσις τῶν πρόσθεν κακῶν· προσεχύθη κοτὲ τε πρὸς τῶν οὔρων αἷμα, ἀναδορῇ τοῦ πόρου· ἀγωνίη δὲ δευτέρη τοῦ λίθου, ἡ διὰ τοῦ καυλοῦ διέξοδος. ἢν γὰρ μέζων τῆς οὐρήθρης ἔῃ, ἐνίσχεται πολλὸν χρόνον, καὶ πλημμυρεῖ ἡ κύστις, καὶ ἰσχουρίη νῦν ἐπαλγεστέρη· ξὺν γὰρ τῇδε τε οὐρητῆρες πίμπρανται· χαλεπωτάτη δὲ ἡ τῶν σκολιῶν ἔξοδος. καὶ γὰρ ἀγκιστροειδέας ὤπωπα καὶ ἐπὶ τοῖς πόροις ἐπιπωρώσιας. ἐπιμήκεες δὲ τὰ πολλὰ διαπλασσόμενοι ὑπὸ τῆς τῶν πόρων ἕξιος. χροιῇ δὲ ἄλλοι μὲν λευκοὶ, ἀργιλώδεες, τὰ πολλὰ παιδίοισι· ἄλλοι δὲ ξανθοὶ, κροκοειδέες, γέρουσι δὲ οἷσι περ καὶ ἐν νεφροῖσι οἱ λίθοι ξυνήθεες. ἐν κύστι γὰρ, παιδίοισι μᾶλλον. ἀλ-

ταὶ δὲ αἱ αἰτίαι τῆς πήξιος· γέρουσι μὲν τὸ σῶμα ψυχρὸν, παιδίοισι δὲ τὸ αἷμα ψυχρὸν δὲ, τὰ πάθεα θᾶσσον πήγνυσι. τέκμαρ δὲ, τῶν ὑδάτων τῶν θερμῶν φύσει αἱ πηγαί· ἀπὸ ψυχθέντα γὰρ, ἐς πωρώδεα λίθον πήγνυται. παιδίοισι δὲ πολλὸν ὑπὸ τοῦ αἵματος τὸ ἰλυῶδες ἑψηθὲν, κύστιος ὅκως πῦρ τὴν ἕδρην ἴσχει. λίθων μὲν οὖν ἀμφὶ κύστιος τοιάδε πάθη. μελζετέροισι ἐν περιόδοισι οὐρέουσι αἷμα, τοῖσι ἀπὸ αἱμορροΐδων ἰκέλη ἥδε ἡ ξυμφορή. ὁμοίη δὲ καὶ ἡ τοῦ σκήνεος κατάστασις, ἔξωχροι, νωθροὶ, ἄπρηκτοι, ἀπόσιτοι, ἄπεπτοι ἢν μὴ ἐκκριθῇ, ἔκχολοι, πάρετοι τὰ μέλεα· κεφαλὴν δὲ κοῦφοι καὶ ἐλαφρότεροι. ἢν δὲ ἐς τὴν περίοδον μηδὲν ἐκρυῇ, κεφαλαλγέες, ἀμαυροὶ τὰς ὄψιας, σκοτώδεες, ἀμφιδινεύμενοι· ἐντεῦθεν ἐπίληπτοι μωροὶ ἄλλοι, οἰδαλέοι, ἀπαχλυούμενοι, ὑδρωπιώδεες· ἄλλοι δὲ μελαγχολώδεες, ἢ παραλυτοί. ἐπισχέσιος γὰρ αἱμορροΐης ξυνήθεος, ἀπότοκα τάδε. ἢν μὲν οὖν ἀπὸ νεφρῶν ἐκρέῃ τὸ αἷμα καθαρὸν, ἀμιγὲς οὔροισι, τὰ πολλὰ ἐκρέει ἀπὸ κύστιος τῶν οὔρων τὸ αἷμα. φέρεταί κοτε, καὶ ἀπὸ ῥήξιος τῶν νεφρῶν πολὺ ἀθρόον· ἀτὰρ ἤδε παγὲν ἴσχει, καὶ γίγνονται θρόμβοι ὡς ἔξω χυθὲν ἐπάγη κοτὲ καὶ ἐν κύστι· εὖτε ἰσχουρίη γίγνεται δεινή· ἐπὶ δὲ τῇ ῥαγῇ ἕλκεα συμβαίνει χρόνια καὶ δυσαλθέα· τέκμαρ δὲ ἐφηλκὶς ἢ ὑμένιον· εὖτε ἀράχνιον ἐρυθρὸν ἐκκριθὲν, ἢ πύον λευκὸν οὐρηθὲν, ἄλλοτε μὲν καθαρὸν, ἀμιγὲς, ἄλλοτε δὲ οὔροισι ξυμμεμιγμένον. τοῖσδε χρὴ καὶ ἀποστάσιας διαγιγνώσκειν, ἢν περιστέλλωνται πυρετοὶ ἐς ἑσπέρην καὶ ῥίγεα· πόνοι ἀμφὶ τὴν ὀσφύν· κνησμοί· ἢν δὲ καὶ ἐκραγῇ, θρόμβοι πυώδεες, σαρκοειδέες, ἀτὰρ ἤδε λευκοῦ πύου ἀπόστασις. τὰ δὲ ἕλκεα, δακνώδεα, ἄλλοτε μὲν καθαιρόμενα, ἄλλοτε δὲ ῥυπαρὰ ὄντα. δηλοῖ δὲ τὸ πύον. ἀτὰρ ἤδε οὖρα κάκοδμα, ἢ ἄνοδμα. ἔαρ μὲν οὖν αἱμορραγίας τίκτει καὶ ἀποστάσιας· χειμὼν δὲ καὶ φθινόπωρον, λίθους· ἢν δὲ ἐπὶ λίθοισι ἕλκεα γένηται, δυσαλθέες μὲν αἱ νοῦσοι, ταχὺ ἡ τηκεδὼν καὶ θάνατος.

insanabilis

ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΥΣΤΙ, κεφ. δ.

Τῶν ἐν τῇ κύστι νούσων οὐδὲν εὐῆθες. τὰ μὲν ὀξέα φλεγμασίῃ καὶ τρώμασι, σπασμῷ καὶ πυρετοῖσι ὀξέσι κλείνοντα· ἕλκος δὲ καὶ ἀποστάσιες, ἢ παράλυσις, ἢ λίθος μέγας μὲν, ἀναλθὴς δέ· οὔτε γὰρ θρύπτεται, ἢ πόσι, ἢ φαρμάκῳ, ἢ ἀμφιθρύπτοιτο, οὔτε ἀσινέως τέμνεται. χρὴ γὰρ καὶ τὰ λεπτὰ τῆς κύστιος ξυνταμνεῖν· τὸ δὲ αὐτίκα μὲν ἔκτεινε, ἢ ὀλίγαις ἡμέρῃσι σπασμοῖσι καὶ πυρετοῖσι θνήσκουσι· ἢν δὲ μὴ τάμῃ, εἰς οὔρων σχέσιν, καὶ πόνοισι, καὶ πυρετοῖσι ἢ τηκεδόσι σμύχεται ὤνθρωπος· ἢν δὲ μὴ κάρτα μέγας ὁ λίθος ἔῃ, σχέσιες μὲν οὔρων ξυνεχέστεραι. ἐς γὰρ τὸν αὐχένα ῥηϊδίως ἐμπίπτων ἀποέργει οὔρων ἔξοδον. τάμνειν δὲ εἰ καὶ τῶν μεζόνων ἀσφαλέστεροι, ἀλλὰ τέμνεται κύστις, κἢν τις τὸν τοῦ θανάτου κίνδυνον ἐκφύγῃ, ῥοιάδος γίγνεταί οἱ πάθος· κἢν ἀκίνδυνον ἔῃ, ἀλλ' οὐ φορητὸν ἐλευθέροισι ἀέναον ἐκρέειν οὖρον, κἢν βαδίζῃ, κἢν εὕδῃ, ἀτερπὲς δὲ ἢν βαδίζηται. οἱ δὲ κάρτα σμικροὶ τὰ πολλὰ τάμνονται ἀσινέως· ἢν δὲ ξυμπεφύκῃ τῇ κύστι λίθος, διάδηλος μὲν τῇσι μηδεδόνεσι, ἀτὰρ οὐδὲ ἀσινεῖς πόνοισι καὶ βάρεϊ, κἢν αὐτὴ δυσουρέεις ἄτερ· ἢν δὲ μὴ, καὶ δυσουρέει. ξύμπαντας δὲ τοὺς λίθους διαγνοίης αὐτῇσι τῶν ψαμμίων ἐν τοῖσι οὔροισι ὑποστάσεσι· ἀτὰρ ἤδε περίκοποι τὰ αἰδοῖα γίγνονται. εὖ τε γὰρ ἀπουρέοισι, κἢν ὕπεστι καὶ ὁ λίθος ὀδυνέονται, καὶ ἀμφαφόωσι, καὶ ἕλκουσι τὰ αἰδοῖα, ὅκως τὸν λίθον ξὺν τῇ κύστι ἐξαιρεύμενοι· ξυμπαθὴς δὲ καὶ ἕδρη κνησμώδης γιγνομένη· περιπετὴς δὲ καὶ ἀρχὸς βίῃ καὶ ἐντάσεσι φαντασίῃ· ἐκκρίσι δὲ ὡς δῆθεν τοῦ λίθου. ἄμφω γὰρ συγκέεται ἀλλήλοισι ἕδρη τε καὶ κύστις. ὧν ἑκατέρου * διὰ τόδε καὶ ἐπὶ φλεγμασίῃ ἀρχοῦ, ἰσχουρέει κύστις, καὶ ἐπὶ τῇσι τῆς κύστιος ἀκίσι ὠδίνησι ἕδρη, κἢν μὴ ἐπὶ ξηρὸς ἡ γαστὴρ ἔῃ. ταῦτα μὲν ἄλγεα τὰ λίθων· αἱμορραγίη δὲ κἢν

μὴ κάρτα ὀξέως κλείνῃ, χρόνῳ δὲ ἐξέλυσε μυείοις. οἱ δ' ἀπ' αὐτέης θρόμβοι, ἰσχουρίη, ὀξέες ὄλεθροι, ὁκόσαπερ οἱ λίθοι. καὶ γὰρ ἢν τὸ αἷμα λεπτόν τε καὶ ξανθὸν καὶ μὴ παχὺ ἢ εὐπαγὲς, ἀλλ' ἡ κύστις ἐς πολλὸν ἀλίζει χρόνον, καὶ ἤδε θερμαίνουσα καὶ ἕψουσα πηγνύει. καὶ ὧδε γίγνεται θρόμβος. ἰσχουρίη μὲν οὖν δυνατωτάτη κλεῖναι· προσεπιγίγνεται δὲ τουτέοισι ἄλγος ὀξὺ, πῦρ δριμὺ, γλῶσσα ξηρὴ, καὶ ἐπὶ τοῖσδε παράφοροι θνήσκουσι. ἢν δὲ ἐπὶ τρώματι ἄλγος ἐκφανῇ, τρῶμα μὲν ὀλέθριον· τὸ δὲ ἕλκος κἢν μὴ ἀρχῆθεν κλείνῃ, πυρετοῖς ἢ φλεγμονῇ ἀνήκεστον γίγνεται. λεπτὴ μὲν τὸ πάχος κύστις· νεῦρον δὲ ὡς τὴν φύσιν· τάπερ οὐδὲ σαρκοῦται οὔτε ῥηϊδίως ἐπουλοῦται· ποτὶ δὲ τὸ οὖρον χολῶδες, δριμὺ, δακνῶδες τοῦ ἕλκεος, ἡ ξυνὴ δίαιτα· ἥδε ἐν μὲν τῇσι πληρώσεσι διατέταται· ἢν δὲ κενωθῇ, ξυνίζει. πάσχει οὖν ἄρθρου πάθει ἐν ἐκτάσι τε καὶ κάμψι· ἄρθρῳ δὲ οὐκ εὐαλθὲς ἕλκος οὐδέν. καὶ ἔμπυος δ' ἐξ ἀποστάσιος γίγνεται. κύστιος σημήϊα, τάπερ ἐπ' ἄλλοισι μὲν ἐπὶ φλέγμασι. εἰ γὰρ καὶ ἐπὶ πυρετοῖσι καὶ ῥίγεσι ἡ ἀπόστασις, κίνδυνοι οἱ ωὐτοί· πύον δὲ ἀλλ' εἰς παχὺ, λευκὸν, οὐ κάκοδμον ἐκδιδοῖ, εὐηθέα τὰ ἀπὸ τῶνδε ἕλκεα· ἢν δὲ ἐπινέμηται, ῥυγώδεα, μυξοποιά, κάκοδμα οὐρέουσι· τῶν τοιῶνδε οὐ βραδὺς ὁ θάνατος. δακνώδεα μὲν τὰ οὖρα· ὀδυνηραὶ δὲ ἡ προέσεις αὐτῶν, διαΐσσει δ' ἡ ὀδύνη μέσφι ἄκρων τοῦ καυλοῦ. βλάπτει δ' αὐτέοις πάντα καὶ τἀναντία, καὶ πλησμονὴ καὶ κένωσις, καὶ ἀργίη καὶ κίνησις, καὶ λουτρὰ καὶ ἀλουσίη, καὶ τροφὴ καὶ ἀτροφίη, καὶ γλυκέα καὶ ὀξέα· ἄλλων ἄλλα μὲν ὠφελεόντων· ἄλλα δὲ βλαπτόντων εἰς ἓν συμβῆναι μὴ δυναμένων.

ΠΕΡΙ ΓΟΝΟΡΡΟΙΑΣ, κεφ. ε.

ΑΝώλεθρον μὲν ἡ γονόῤῥοια, ἀτερπὴς δὲ καὶ ἀηδὲς μέσφι ἀκοῆς. ἢν γὰρ ἀκρασίη καὶ πάρεσις τὰ ὑγρὰ ἴσχῃ καὶ γόνιμα μέρεα, ὅκως διὰ ψυχρῶν ῥέῃ ἡ θορὴ, οὐδὲ ἐπιγνῶναι δεῖ αὐτὴν οὐδὲ ἐν ὕπνοισι. ἀλλὰ γὰρ ἤν τε εὕδῃ, ἤν τε ἐγρηγορέῃ, ἀνεπίσχετος ἡ φορὴ, ἀναίσθητος δὲ ἡ ῥοὴ τοῦ γονίμου γίγνεται. νοσέουσι δὲ καὶ γυναῖκες τήνδε τὴν νοῦσον, ἀλλ' ἐπὶ κνησμοῖσι τῶν μορίων καὶ ἡδονῇ παρέρχεταί τισι ἡ θορή· ἀτὰρ καὶ πρὸς ἄνδρας ὁμιλίῃ ἀναισχυντῶ· ἄνδρες δὲ οὐδ' ὅλως ὀδάξονται. τὸ δὲ ῥέον ὑγρὸν λεπτὸν, ψυχρὸν, ἄχροον, ἄγονον. πῶς γὰρ ζωογόνον ἐκπέμψαι σπέρμα ψυχρὴ οὖσα ἡ φύσις. ἢν δὲ καὶ νέοι πάθωσι, γηραλέους χρὴ γίγνεσθαι πάντας τὴν ἕξιν, νωθώδεας, ἐκλύτους, ἀψύχους, ὀκνέοντας, κωφοὺς, ἀσθενέας, ῥικνοὺς, ἀπρήκτους, ἐπώχρους, λευκοὺς, γυναικώδεας, ἀποσίτους, ψυχροὺς, ἀχθέων βάρεα, καὶ νάρκας σκελέων, ἀκρατέας, καὶ ἐς πάντα παρέτους. ἥδε ἡ νοῦσος ὁδὸς ἐς παράλυσιν πολλοῖσι γίγνεται. πῶς γὰρ οὐκ ἂν τῶν νεύρων ἥδε ἡ δύναμις πάθοι τῆς ἐς ζωῆς γένεσιν φύσιος ἀπεψυγμένης; καὶ ἡμέας ἄνδρας ποιέει ζωοῦσα ἡ θορὴ, θερμοὺς, εὐάρθρους, λασίους, εὐφώνους, εὐθύμους, κραταιοὺς νοῆσαί τε καὶ ῥέξαι· δηλοῦσι οἱ ἄνδρες. οἷσι δὲ οὐκ ἔνεστι ζωοῦσα ἡ θορὴ, ῥικνοὶ, ἀσθενέες, ὀξύφωνοι, ἄτριχες, ἀγένειοι, γυναικώδεις· δηλοῦσι οἱ εὐνοῦχοι. ἢν δέ τις ἀνὴρ καὶ ἐγκρατὴς ἔῃ τῆς θορῆς, κραταιὸς, εὔτολμος, ἀλκῆς μέσφι θηρίων· τεκμήριον δὲ ἀθλητῶν οἱ σώφρονες. καὶ γὰρ καὶ οἱ φύσει τινῶν κρέσσονες ὑπ' ἀκρασίης πολλὸν τῶν χερειόνων γίγνονται χέρσονες. πολλὸν δὲ οἱ φύσει χερείους ὑπ' ἐγκρατίης γίγνονται κρεσσόνων κρέσσονες. ἀτὰρ οὐδὲ ζῶον ἐξ ἄλλου τευ γίγνεται κραταιὸν, ἢ θορῆς. μέγα οὖν καὶ ἐς ὑγίην, καὶ ἐς ἀλκὴν, καὶ ἐς εὐψυχίην, καὶ ἐς γένεσιν ζωῆς ἡ θορή. ἀπὸ σατυριήσιος ἐς γονόῤῥοιαν ἀπόσκηψις ἡ κατάστασις.

ΠΕΡΙ

ΠΕΡΙ ΣΤΟΜΑΧΙΚΩΝ, κεφ. ς.

Στόμαχος ἡδονῆς καὶ ἀηδίης ἡγεμών· καρδίης καὶ ἐγγείων γὰρ τὸ νεῦμα ἐς τόνον καὶ θυμὸν, ἢ ἀθυμίην, τῆς ψυχῆς συμπαθέει. ἥδε στομάχου πρώτιστα δύναμις. τάδε μὲν οὖν μοι ἄλλῃ λέλεκται. ἀπότοκοι ἡδονῆς μὲν, εὐπεψίη, εὐσαρκίη, εὐχροίη τοῦ σώματος, ἀηδίης δὲ τουτέων τἀναντία, κοτὲ καὶ ἀθυμίη μὴ ἔχων τροφήν· μελαγχολώδεσι δὲ καὶ ἀποσιτίη. ἢν οὖν ὅδε νοσέῃ, μῖσος καὶ ἀποστροφὴ τῶν γευμάτων, οὐκ ἢν προσαίρωνται μόνον, ἀλλὰ κἢν ἀθέντα μετὰ ἢ τὰ σιτία ἀναπεμπάζονται δὲ ναυτίῃ, ἢ ἀπορίῃ, ἢ πλάδῳ, ἢ καρδιαλγίῃ· καὶ σιαλοχόοι δὲ, καὶ ἔμετοι ἐνίοισι· κἢν ὁμῶς τὸ σῶμα τείρῃ, κἢν γαστὴρ μείνῃ κενεὴ τῶνδε, τὸν πόνον ῥηΐτερον φέρει τοῦ προσάρσιος. ἢν δὲ καὶ ὑπ' ἀνάγκης κοτὲ ἐς τὴν ἐδωδὴν ἴῃ, πολλὸν κάκιον· ὁ δὲ πόνος τοῦ λιμοῦ ἐν τῷ στόματι λεῖαι ἄλγος, καταπιεῖν μέζων ὀδύνη· ἀτὰρ καὶ οὐχὶ πρὸς μὲν τὰ οἰκεῖα τοιῶσδε· ἐς δὲ τὰ ἀλλόκοτα χρηστῶς· ἀλλαγὴ τοῦ κατὰ φύσιν ἐς τὸ ἔμπαλιν· ἀχθηδὼν ἐς πάντα, καὶ φυγὴ, καὶ μῖσος σιτίων· ἐπὶ δὲ τοῖσι μεσηγὺ τῶν ὠμοπλατέων χωρίοισιν, ἄλγος πολὺ δὲ καὶ μέζον, ἢν προσφέρωνται καὶ καταπίνωσι· ἄσῃ, ἀπορίη, ὄψιες ἀμαυραὶ, ὤτων ἦχοι, βάρεα κεφαλῆς, νάρκη μελέων· καὶ τὰ γυῖα λύονται· παλμὸς ἐν τοῖσι ὑποχονδρίοισι, φαντασίη τῆς ἐλάχιος ἐς τὼ σκέλεε κινδυνεύνης· ἄλλοτε ἄλλῃ τῇδε κἀκεῖσε φέρεσθαι δοκέουσι, κἢν ἑστήκωσι, κἢν κατακέωνται. ὅκως ὑπὸ αὔρης ἀνέμων κάλαμοι, ἢ δένδρεα· φλέγμα ψυχρὸν, ὑδαρὲς ἀποβλύζουσι· ἐπὴν δὲ καὶ χολὴ ἢ πικροχόλοισι, σκοτώδεες, ἄδιψοι κἢν ἐπὶ ἐδέσμασι διψῆν δοκέωσι, ἄγρυπνοι, νωθροὶ, νυσταλέοι δὲ χ' ὕπνῳ ἀβρεκέϊ· κωματώδεες, ὁμοιοπαθέες, ἰσχνοὶ, ἔξωχροι, ἀσθενέες, ἔκλυτοι, λειποδρανέες, ἄψυχοι, δειλοὶ, ἡσύχιοι· ἐξαπίνης δ' ὀργίλοι· κάρτα μελαγχολώδεες. καὶ γὰρ ἐξώκειλαν κοτὲ ἐς μελαγχο-

νέῃ οἱ τοιοίδε. τὰ δὲ μέντοι τῆς ψυχῆς τοῦ στομάχου ἐνδιδόντος, ἐπὶ δεῖ τὴν πάθην. οἱ δὲ δὴ ἄνθρωποι οὐκ εἰδότες τὰ ξυμπαθέα μέρεα, ἐφ' οἷσι τὰ δεινότατα γίγνεται, τὸν στόμαχον αἴτιον ἡγεῦνται· μέγα δὲ ἐς πίστιν ὧν λέγω, ἡ ξυνάφεια τῆς καρδίης, ἔνθα πάντων ἡ ἀρχή. μέσον γὰρ ὁρίζει τῷ πνεύμονι ἡ καρδίη. ἡ δὲ τούτων μεσότης τὸν στόμαχον συνάπτει· ἄμφω δὲ προσπεφύκασι τῇ ῥάχει· διὰ τόδε πρὸς τὴν καρδίην γειτόνημα, καὶ καρδιαλγίη, καὶ ἔκλυσις, καὶ τὰ μελαγχολώδεα. αἰτίαι δὲ τῆς νούσου, καὶ ἄλλαι μὲν μυρίαι, κακίη δὲ, πόνου συχνὸν, ἀπὸ κοιλίης διὰ στομάχου χυθέν· ξυνήθεες δὲ καὶ τοῖς ὑπό τι ἀνάγκαις ἐνδεδιῃτημένοις λεπτῇ καὶ σκληροτέρῃ διαίτῃ· ἀτὰρ καὶ τοῖσι ἐς παιδείην πονεῦσι, καὶ ἐς τὴν δὲ τλήμοσι, οἷσι θέλης μὲν μαθήσιος ποθὴ, ὀλιγοσιτίη δὲ καὶ ἀγρυπνίη, καὶ μελεδώνη λόγων τε καὶ πρηγμάτων σοφῶν· οἷσι ὑποτροφίη μὲν διαίτης ἀδρῆς καὶ ποικίλης, λιμὸς δὲ ἡ τροφὴ, καὶ ὕδωρ ποτὸν, καὶ ἐν ὕπνῳ αὐπνίη· οἷσι μαλθακὴ μὲν εὐνὴ ἄστρωτος χαμαί· ἀμφίβλημα δὲ εὐτελὲς, ἀμπεχόνη ἀραιὴ, τὸ δὲ τοῦδε κρᾶνος, ὁ κοινὸς ἀήρ· πλοῦτος δὲ ἐννοίης θέλης προσοισίης τε χρῆσις· τάδε γὰρ αὐτέοισι ἀγαθὰ γίγνεται ἔρωτι παιδείης· καὶ εἰ προσαίρονται, εὐτελὲς μὲν σιτίον, οὐδὲ ἐς κόρον ἐδωδῆς, ἀλλ' ἐς ζωὴν μοῦνον· οὐκ ἐπ' οἴνῳ θώρηξις, οὐ θυμηδίη, οὐ ῥέμβος καὶ περίοδοι, οὐ σωμάτων ἄσκησις, οὐδὲ σαρκῶν περιβολή. ξένος γὰρ οὐκ ἐὼν ἀπάργοι παιδείης ἔρως· πατρίδος, τοκήων, κασιγνήτων ἑωυτῶν μέσφι θανάτου. τοῖσδε οὖν τηκεδὼν μὲν τοῦ σκήνεος, ἄχροοι, καὶ ἐν νεότητι γηραλέοι, καὶ ὑπ' ἐννοίης κοῦφοι ψυχὴν δὲ ἀμειδέες, ἀμείλιχοι, στομάχου δὲ κακοσιτίη· ταχὺς ὁ κόρος τῆς ξυνήθεος, εὐτελέος καὶ ἑτοίμου τροφῆς, ἀηθίη δὲ ποικίλης ἐδωδῆς· ὄκνος δὲ πάντων γευμάτων. ἢν δὲ καὶ λάβωσί τι τῶν ξένων, βλάβη· ἀπόστροφοι εὐθὺς ἐς πάντα. ἡ δὲ ὦν στομάχου χρονίη νοῦσος, φλεγμοναὶ δὲ καὶ ῥεύματα, καὶ καρ-

Continuitas

adhaeret hic spinae et illinc

multi seris diffusio

victum plenum asperum

cubile humi sine stragulis molle

integumentum vile et tenue

vestimentum tectum

3 non ad satiandam gulam

non avocetur

2 non hilaritas 3 Loci mutatio 4. Vestitus. 5 parentum fratrum suorum ipsorum Bona vacant 7. Insueta (?) cibus

διωγμὸς, ἢ πόνος, στομαχικὸν οὐ κικλήσκεται πάθος. ἕτερος ἄλλῃ τὴν δὲ νοῦσον· ἔνθα καὶ πέψιος καὶ ὀρέξιος, καὶ πάντων ἀδυναμίη. ἡλικίη δὲ γῆρας, οἷσι καὶ δίχα πάθεος διὰ τὸ τοῦ βίου τέλος καὶ ἡ ὄρεξις ἐς τέρμα ἥκει.

ΠΕΡΙ ΚΟΙΛΙΗΣ ΔΙΑΘΕΣΙΟΣ, κεφ. ζ.

Κοιλίη σπλάγχνον πεπτήριον κάμνει τὴν πέψιν, ὁκότε διάρροια τὸν ἄνθρωπον ἴσχει· καὶ ἔστιν ὑγρῆς τροφῆς ἀπέπτου ἡ διάρροια· ἀλλ' ἢν μὴ ἐπὶ σχεδίου τῆς αἰτίης γίγνοιτο τόδε ἐς μίην ἢ δευτέρην ἡμέρην μούνην· πρὸς δὲ, καὶ ὅλος ὁ ἄνθρωπος ἀσθενὴς, ἀτροφίη τοῦ σκήνεος. χρονίη νοῦσος ἡ κοιλιακὴ γίγνεται, ἀτονίη τοῦ πέσσοντος θερμοῦ, καὶ ψύξι τῆς κοιλίης· εὖτε λύεται μὲν ἐς θερμὸν ἡ τροφή· ἀλλ' οὐκ ἐκπέσσει θερμὸν, οὐδὲ ἐς χυμὸν οἰκεῖον τρέπει, ἡμιτελέα δὲ λείπει ἀδρανείῃ τοῦ τέλεος· ἡ δὲ ἀφεθεῖσα τῆς ἐργασίης ἐς κακὸν ἀλλοιοῦται καὶ χροιῇ, καὶ ὀδμῇ, καὶ συστάσει. λευκὴ μὲν γὰρ καὶ ἄχολος ἡ χροιή· κάκοδμα δὲ καὶ βορβορώδεα· ὑγρὴ δὲ καὶ ἀσύστατος ἀπεργασίη· μοῦνον δὲ ἀρετὴν ἴσχουσα τῆς πέψιος τὴν ἀρχήν. διὰ τόδε φυσώδεες ἐς τὴν γαστέρα ἐρυγαὶ ξυνεχέες, κακώδεες. ἢν δὲ καὶ κάτω περήσωσι, βρύζει μὲν τὰ ἔντερα, φῦσαι δὲ διεξιᾶσι δασεῖαι, ὑγραὶ, ἀχλώδεες· φαντασίαι δὲ ἐπ' αὐτέοισι ὡς διεκθέοντος ὑγροῦ. πόνος τῆς κοιλίης βαρὺς ὁκοῖον νύγμα, ἄλλοτε καὶ ἄλλοτε. ἰσχνὸς δὲ καὶ ἄτροφος ἄνθρωπος, ὠχρὸς, ἀδρανὴς, οὐδέν τι πρῆξαι τῶν συνήθων εὔτονος. ἀλλὰ κἢν βαδίζῃ, λύεται τὰ μέλεα, φλέβες κροτάφων ἐπηρμέναι. ἀτροφίη γὰρ, κοιλοκρόταφοι. ἐπίφλεβοι δὲ καὶ παντὶ τῷ σώματι. οὐ γὰρ οὐ πέσσει μοῦνον ἡ νοῦσος, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐς τὸν ὄγκον ἀναδιδοῖ. δοκέει γάρ μοι οὐ τῆς πέψιος μοῦνον, ἀλλὰ καὶ τῆς ἀναφορῆς τὸ

πάθος ἔμμεναι· ἢν δὲ καὶ ἔσω αὐξήσῃ ἡ νοῦσος γίγνηται, ἄγει καὶ τὰ ἀπὸ τοῦ παντὸς εἰς τὴν κοιλίην πάλιν, ὅτε ἤδε ἡ τηκεδὼν τῆς ἕξιος· αὐαλέοι δὲ τὸ σῶμα, αὐχμηροὶ δὲ τὴν ἐπιπολήν, ἀνίδρωτες, κοιλίη ἄλλοτε πυριφλεγὴς ὡς ἀπ' ἄνθρακος. ἄλλοτε δὲ ὡς ἀπὸ κρυστάλλου ψυχροσταγδής. ὁκότε δὲ καὶ αἷμα τοῖσι ἐσχάτοισι ἐν σκυβάλοισι ἐπιρρέει ξανθὸν, ἄκριτον, ἀμιγὲς, ὡς δοκέειν φλεβὸς στόμιον ἀνεῶχθαι. ἀνεαθίζει γὰρ τὸ δριμὺ τὰς φλέβας. μήκιστον καὶ δυσαλθὲς κακόν. καὶ γὰρ ἢν δοκέῃ πεπαῦσθαι αὐτῆς φανερῆς προφάσιος, παλινδρομέει ἐσαῦθις, ἢν ἤδη καὶ ἐπὶ σμικρῇ ἁμαρτωλῇ, παλίνορσος ἥκει. ἐς περίοδον γοῦν ἤδε φοιτῇ. γέροισι ξυνήθες τὸ κακὸν, καὶ γυναιξὶ μᾶλλον, ἢ ἀνδράσι. παιδίοισι δὲ διάρροια μὲν ξυνεχὴς, ἐφημέρῳ ἀκρασίῃ τροφῆς· ἀλλ' οὐ κοιλίης κύστει ἡ νοῦσος. ἥκιστα δὲ θέρος, τῶν ἄλλων ὡρέων μᾶλλον· μετόπωρον δεύτερον, χειμὼν δὲ ὁ ψυχρότατος, ἢν ἀγχοῦ σβέσῃ τὸ θερμὸν ἥκῃ· ἐπὶ χρονίῃ δὲ νούσῳ, καὶ ἤδε, καὶ δυσεντερίῃ, καὶ λειεντερίῃ τίκτεται· ἀλλὰ καὶ χανδὸν ψυχροποσίη κοτὲ ξυνέστησε τὴν νοῦσον.

ΠΕΡΙ ΚΩΛΙΚΩΝ, κεφ. η.

Κωλικοὶ δὴ κλείνονται εἰλεῷ καὶ στρόφῳ ὀξέως. πάνυ μὲν οὖν αἴπα μυρία ἴδε τῆς διαθέσιος σημήϊα, βάρος μὲν ἔσω ἀσιτίῃ, ἔνθάδε τὸ πάθος. μάλιστα δὲ κραίνει, ὄκνος πουλύς· νωθέες, ἀπόσιτοι, ἰσχνοὶ, ἄγρυπνοι, οἰδαλέοι πρόσωπα· κἢν μὲν περὶ τὸ ἄλλο νοσέῃ κῶλον, μελάγχλωροι· λευκόχλωροι δὲ, ὁκόσοι περὶ ἧπαρ, ξυμπαθέῃ τῶν ἄγχιστα σπλάγχνων· ἢν δὲ περισαίρωνται τροφὴν, καὶ ἐπὶ σμικρῇ καὶ ἀφύσῳ κάρτα φυσώδεες, καὶ προθυμίη μὲν ἐς διαπνοίην, ἀδιέξοδοι δὲ φῦσαι, ἐρυγαί τε ἄνω βιούμεναι, ἀτὰρ καὶ αἵδε ἀτελέες. ἢν δέ τι περήσῃ βίᾳ, φῦσαι βρομώδεες μὲν αἱ ἄνω, καὶ ὀξυ-

Si coacti prod.

ῥευματώδεες· νεφρὸς καὶ κύστις ξυμπαθέα πόνῳ, καὶ ἰσχουρίη, τουτέοισι ἅμα αὐτ᾽ ἄλλων. θῶϋμα δὲ τουτέων μέζον, ἐς ὄρχιας καὶ κρεμαστῆρας ἀδόκητον ἄλγος ἐπιφοιτῇ· πολλοὺς τῶν ἡ-βῶν ἥδε ἡ ξυμπαθείη λήθει. καὶ γὰρ καὶ ἐξέταμόν κοτε τοὺς κρεμαστῆρας, ὡς ἰδίην ἔχοντας αἰτίην. ἅμα γὰρ τὰ τουτέοισι αὐτ᾽ ἄλλων ἅμα. γίγνονται δὲ καὶ ἀπότοκοι τῆσδε νοῦσοι, ἀποστάσιες μὲν καὶ ἕλκεα οὐκ εὐήθεα· ὕστεροι δὲ τὰ φθίσιες, ἀναλθέα. ἐπὶ γὰρ ψύξι καὶ χυμοῖσι παχέσι καὶ φλέγμασι πολλῷ κολλώδεσι ξυνίσταται ἡ νοῦσος· ἀτὰρ καὶ ἡλικίῃ τῇ ὥρῃ· ψυχρῇ ἐπιφοιτῇ χώρῃ, καὶ χείματι καρτερῷ.

ΠΕΡΙ ΔΥΣΕΝΤΕΡΙΗΣ, κεφ. θ.

ΕΝτέρων τὰ μὲν ἄνω λεπτὰ καὶ χολώδεα μέσφι τοῦ τυφλοῦ, χολάδες ἐπίκλην· ἀπὸ δὲ τουτέων τὰ κάτω παχέα καὶ σαρκώδεα μέσφι τῆς ἀρχῆς τοῦ εὐθέος ἐντέρου. ἐγγίγνεται οὖν ἐν ἅπασι ἕλκεα· δυσεντερίη δὲ τῶνδε τῶν ἑλκέων, αἱ ἰδέαι. διὰ τόδε ποικίλαι ἔασι αἱ νοῦσοι. τὰ μὲν γὰρ ἐπιπολῆς ξέει ἔντερα, ἀναδορὴν μούνην ποιεύμενα, τὰ ἔστιν ἀσινέα. ἀτὰρ δὲ ἀσινέστερα πολλὸν, ἢν τὰ κάτω ἢ τὰ πάθη. ἄλλη δὲ εἰ σμικρῷ μᾶλλον ἔτι βαθύτερα τὰ ἕλκεα, οὐκ εὐήθεα δὲ καὶ τάδε· ἄλλα βαθέα τὰ οὐχ ἱστάμενα, ἀλλ᾽ ἐσθιόμενα, ἀδενώδεα, ἕρποντα, καὶ ἐπισφακελίζοντα, θανατώδεα. ἀτὰρ καὶ φλεβία ἐπὶ τῇσι νομῇσι γίγνονται περίβρωτα, ἔν τε τοῖσι ἕλκεσι καὶ στάξιες αἱμορραγίας τὸ μέζον. ἄλλο εἶδος ἑλκέων, ὀχθώδεα, τρηχέα, ἀνώμαλα, τυλαίνια, ὡς ἐν ξύλῳ ὄζον εἴπομεν· δυσαλθέα τάδε. οὔτε γὰρ ὠτειλὴν ῥηϊδίως ἴσχει. ῥηΐτερόν τε γὰρ λύονται. αἰτίαι δὲ δυσεντερίης μυρίαι, ἐπίκαιροι δὲ, ἀπεψίαι, ψύξιες συνεχέες, δριμέων προσάρσις, μυττωτοῦ κρομμύου αὐτοῦ, σκορόδου, κρεῶν παλαιῶν δριμέων ἐδωδή. ἐφ᾽ οἷσι ἀπεψίη, ὑγρὸν ἄηθες, κυκεὼν.

ἢ ῥυτέων πόμα, ἢ οἷα κατὰ χώρην ἑκάστην ἀντὶ οἴνου γίγνεται
δίψεος ἄκεα· ἀτὰρ καὶ πληγὴ, καὶ ψύξις, καὶ ψυχροποσίη, ὕ-
κποισι ἕλκεα. αἱ δὲ ἐκκρίσιες καὶ τὰ ξυνεόντα τοῖσι ἕλκεσι ἕτε-
ρα καὶ ἕτερα, ἐπ' ἄλλοισι τε ἄλλοισι. ἢν μὲν γὰρ ἐπιπολῆς ἔῃ,
ἄνωθεν μὲν λεπτὰ, χολώδεα, ἄοσμα, πλὴν ὁκόσον ἀπ' ἐν-
τέρων. τὰ δὲ ἀπὸ τῆς νήστιος, κατακορέα μᾶλλον, κροκοειδέα,
κακώδεα· τὰ δὲ, καὶ ξὺν τῇ τροφῇ λελυμένῃ μὲν, ἀλλά τις ἠχλὴ.
ἄλλοτε κάκοδμόν ἐστι, τὰ δὲ ἕλκεα σηπεδών· ἄλλοτε δὲ ἴσα, ὡς
ἀπὸ σκυβάλων μοῦνον ἡ ὀσμή· ἀπὸ δὲ τῶν κάτω ἐπὶ τοῖσι ἕλ
κεσι, ὑδατώδεα, λεπτὰ, ἄοσμα· ἢν δὲ ἐπὶ μᾶλλον βαθέα,
ἰχωροειδέα, ὑπέρυθρα, οἰνώδεα ἢ ὅκως κρεῶν πλύμα. ἄλλοτε
μὲν ἰδίῃ τάδε, ἄλλοτε δὲ ξὺν τοῖσι κοπρίοισι· καὶ τάδε ὑγρὰ λε-
λυμένα τῷ περιῤῥόῳ, ἄχολα, ἄοσμα· ἢ ξυνεστῶτα ξηρὰ
ἐξίασι, ὀλισθηρὰ τῷ περιῤῥόῳ. ἢν δὲ μέζω καὶ λειότερα ἢ τὰ
ἕλκεα, ἐπὶ μὲν τοῖσι ἄνω, χολώδεα, καὶ ἀφ' ὧν καὶ δι' ὧν ἔρ-
χεται. καὶ γὰρ τὴν ἕδρην δάκνει. δριμεῖα γὰρ ἡ χολὴ, καὶ ἐπὶ
μᾶλλον ἢν ἀφ' ἕλκεος· καὶ ἡ χολὴ δὲ πίων ὅκως λίπας. ἐπὶ δὲ τοῖσι
βαθυτέροισι τοῖσι κάτω, αἱμάλωψ παχὺς σὺν φλέγματι, σαρ
κοειδέα, οὐ κάρτα πίονα, ξυσματώδεα ὡς ἀπ' ἐντέρων ἐστί.
ἀτὰρ καὶ ὅλα συμμέμικται μύξεα· φέρεται λευκὰ, παχέα, μυ
ξώδεα, στέατι ξυγκοπέντι ἴκελα ξὺν τῷ περιῤῥόῳ. τάδε μέν-
τοι ἀπὸ τοῦ εὐθέος τοῦ παραμήκεος ἐντέρου. ἄλλοτε δὲ μυξώ-
δεα μοῦνον, ὀδαξώδεα, σμικρὰ, στρογγύλα, δακνώδεα, ἐξα-
ναστάσιας πυκινὰς, καὶ προθυμίην ξὺν ἡδονῇ ποιεύμενα· ἐκ-
κρίσιας δὲ κάρτα σμικράς· τεινασμὸς τοῦδε ἡ ἐπίκλησις. ἀπὸ
δὲ τοῦ κωφοῦ φέρονται καὶ σάρκες ἐξέρυθροι τε μεγάλαι, πε-
ριγραφὴν πολλὸν μέζονα ἔχουσαι· βαθέα γίγνεται τὰ ἕλκεα,
καὶ αἷμα παχὺ, τρυγῶδες· τάδε κάκοδμα τῶν πρόσθεν μᾶλ
λον. ἐπὴν δὲ ἕρπῃ καὶ ἐσθίῃ τὰ ἕλκεα, καὶ ἴσχηται μηδαμᾶ ἐπὶ μη-
δὲν, ἄνωθεν μὲν πρὸς τοῖσι χολώδεσι τοῖσι κατακορέσι, κρο-

κώδεα, καὶ ἔπαφρα, τρυγίζοντα, καὶ μέλανα, ἰσατώδεα, πρασοειδέα, παχύτερα τῶν πρόσθεν, κακώδεα, ὅκως ἡ σηπεδὼν διαχωρέει. ὀδμὴ νῦν ἀπειλοτέρη, ὡς ὑπὸ ὀδόντων λάβρων τετριμμένη μοῦνον· ἢν δὲ τὰ κάτω ἀνεσθίηται, αἱμάλωπες μέλανες, παχέα, σαρκοειδέα, ἐξέρυθρα, θρομβώδεα, ὁκότε μὲν μέλανα, παντοίως ποικίλα, κάκοδμα, οὐ φορητὰ, ἀφέσιες τῶν ὑγρῶν ἀβούλητοι, ἀπελύθη κοτὲ καὶ εὐμήκες ἄκριτον κατὰ πλεῦνα, ὅκως ὑγιὲς τὸ ἔντερον, καὶ δέος παρέσχεν ἀμφὶ ἔντερον τοῖσι ἀγνοοῦσι τοῦ πρήγματος. τὸ δὲ ἐστὶ τοιόνδε. τῶν ἐντέρων ὅκως τῆς κοιλίης, χιτῶνες ἔασι δοιοί· ἀτὰρ καὶ ἀλλήλοισι ἐπιβάλλουσι οἵδε λοξοί. ἢν οὖν ἡ διπλόη λυθῇ, ὁ μὲν ἐντὸς χιτὼν ἀποστὰς ἐς μῆκος, ἔξω χωρέει· ὁ δὲ ἐκτὸς, μίμνει μοῦνος, καὶ σαρκοῦται καὶ ἐπωτειλοῦται, καὶ ἀλθάξονται, καὶ ζώωσι ἀσινέες· πάσχει δὲ τὸ κάτω μοῦνον, αἰτίη δὲ τῶν χιτώνων τὸ σαρκοειδές. ἢν δὲ αἷμα ἀπό τευ ἀγγείου φέρηται ξανθὸν, ἢ μέλαν, καθαρὸν ῥέει, ἀμιγὲς τροφῆς, ἢ σκυβάλων ἄτερ. εἰ δὲ ἐπίπαγος ἐπιπετάννυτο πλαδέσι ἀραχνίοισι ἴκελος, θρομβοῦται ἢν ψυχθῇ. οὐδὲ γὰρ ἡ πίστις αἵματος ἔκκρισις· τῷ δὲ ῥοίζῳ πολλῷ ξὺν πνεύματι μέζον τῆς προστάσιος ἡ φαντασίη τῆς ἐκκρίσιος. γίγνεταί κοτε καὶ ἐν κόλῳ πύου ἀπόστασις, οὐδέν τι τῶν ἄλλων τῶν ἐντὸς ἑλκέων ξενοπρεπεστέρη. καὶ γὰρ τὰ σημήϊα καὶ τὸ πύον καὶ ἡ ἄλθεξις τῶν ἑλκέων, ἡ αὐτή· ἢν δὲ ἐκκρίσιες σκληραὶ τῶν σαρκοειδέων ἔωσι τετριμμέναι τρηχέσι σώμασι ἴκελαι, ἡ ἀπόστασις οὐ τοῦ εὐήθεος τρόπου. ῥέει κοτὲ πολλὸν ἀπὸ τοῦ κόλου ὕδωρ, δυσεντεριώδεα τρόπον. ὕδρωπος τόδε μυρίοισι ἐρρύσατο. τὰ μὲν ἕλκεα, ὡς ἔπος εἰπεῖν, τὰ ἐν τοῖσι ἐντέροισι, τοιάδε· ἀτὰρ ἥδε καὶ ἡ τῶνδε ἰδέη, καὶ αἱ ἀπὸ τῶνδε ἐκκρίσιες, ὁκόσας ἔλεξα. φράζω δὲ καὶ τὰ ξυνεόντα ἑκάστοισι τῶν νοσευόντων, ἤν τε εὐήθεα, ἤν τε σιναρὰ ᾖ τὰ ἕλκεα. ἀθρόον μὲν οὖν εἰνάθω, ἢν ἐπιπολῆς ἀναδορὴ, ἤν τε ἄνω, ἤν τε κάτω ἔῃ, ἄπυ-

excoriatio in superf.

ροι, ἄπονοι, ὀρθὸς ἀδὴν ὑγιαζόμενοι, σμικρῇσι τῇσι διαίτῃσι
ἐπροίως. ἢν δὲ ἕλκος ἐγγένηται, ἐπὶ μὲν τοῖσι ἄνω, στρόφος δα-
κνώδης, δριμὺς, ὡς ἀπὸ χολῆς θερμῆς σμικρῆς, ἔμπυοι ἄλ-
λοτε καὶ ἄλλοτε· τὸ δὲ πλέον, ἔμπυον. αἱ πέψιες ἡμιτελέες.
οὐκ ἀπόσιτοι. ἢν δὲ τοῖσι κάτω ἕλκεα γίνηται, πολλόν τι ἀ-
σινέστερα τῶν ἄνω. καὶ γὰρ τὰ ἔντερα πολλόν τι μᾶλλον
τῶν ἄλλων σαρκοειδέα. ἢν δὲ κοῖλα καὶ αἰεὶ ἐσθίοντα ἐς τὰ ἄνω γέ-
νηται, πυρετοὶ ὀξέες, ἀλαμπέες. ἐν τοῖσι σπλάγχνοισι ὑπο-
βρύχιοι, περίψυξις, ἀποσιτίη, ἀγρυπνίη· ἐρυγαὶ κακώδεες,
ναυτίη, χολὴ, ἔμετοι, σκοτοδίνη. ἢν δὲ πολλὴ μὲν ἡ φορὴ, χολω-
δεστέρων δὲ γίγνηται, ἐπίμονοι στρόφοι, καὶ ἄλλοι πόνοι μᾶλλον·
ποτὶ, καὶ ἐκλύσιες δυνάμιος, ὑπολύσιες γουνάτων, καυσώ-
δεες, διψαλέοι, ἀσώδεες, ναυτίη μεγάλη, γλῶσσα ξηρὴ, σφυ-
γμοὶ μικροὶ, ἄτονοι. τουτέων ἀδελφὰ, ὁκόσα ἐπὶ τοῖσι κακο-
ειδέσι ἕλκεσι ἔλεξα τὰ θανατώδεα. καρδιώσσουσι μέσφι λει-
ποθυμίης· μετεξέτεροι δὲ, οὐδὲ ἐς ἀνάκτησιν ἐπαλινδρόμη-
σαν, ἀλλ' οὕτως ἐξέθανον. τάδε τὰ δεινὰ ξυνὰ καὶ τῇσι ἀπὸ
τῶν κάτω ἐντέρων διαβρώσεσι. ἢν νέμηται μὲν τὰ ἕλκεα,
ἄσχετος δὲ ἡ φορή· πλέον ὁκόσον οἱ στρόφοι καὶ οἱ πόνοι ὑπὸ τὸν
ὀμφαλὸν κάτω, ἔνθα τὰ ἕλκεα· ἰδέαι δὲ αἵδε τῶν ἐκκρί-
σιων, ὁκοίας ἔλεξα. ἢν δὲ ἐπὶ τοῖσι προτέροισι μικτὰ ᾖ, ἀνακω-
χὴ δὲ εἰς μακρὸν ἡ νομῆς, ἄλλα ἐπ' ἄλλοις ἕλκεα γίνεται, τῶν μὲν
πεπαινομένων, ἄλλων δὲ κορυφουμένων, ὅκως ἐν θαλάσσῃ κύ-
ματα. τοιόνδε τὸ τῶν ἑλκέων χῦμα. ἢν δὲ καί ποτε ἐπαρκέσῃ
μὲν ἡ φύσις, συνασκήσῃ δὲ καὶ ὁ ἰητρὸς, πέπαυται μὲν ἡ νο-
μὴ, καὶ θάνατον οὐκ ὀρρωδέει. σκληρὰ δὲ καὶ ὀχθώδεα μί-
μνει τὰ ἔντερα, καὶ τὴν δὲ ἐς μακρὸν ἡ ἄλθεξις· αἱμοῤῥαγίη
δὲ ἀπ' ἐντέρων, ἢν μὲν μεγάλης φλεβὸς ἢ ἀρτηρίης ἔῃ, ὠκὺς ὁ
θάνατος. οὐδὲ γὰρ οὐδὲ τὴν χεῖρα δυνατὸν ἔσω ἐσμάσσε-
σθαι, καὶ τοῦ ἄλγεος θιγεῖν, ἢ φάρμακον αὐτῷ τῷ ἕλκεϊ προσβάλ-

λεῖν, καί τοι γὰρ ἢν ἐπίσχοιτο ἡ αἱμοῤῥαγίη φαρμάκῳ, οὐκ ἀβεκὴς τοῦ θανάτου ἡ φυγή. μετεξετέροισι γὰρ μεγάλης ἐσχάρης ἔκπτωσις, τῆς φλεβὸς τὸ στόμιον ἐς μέζον εὐρύνει, εὖτε καὶ θρόμβοι ἔνδον ἐγγίγνονται καὶ μίμνουσι ἔσω, ἄφυκτος ἡ νοῦσος. χρὴ οὖν ἀρχομένῃσι αἱμοῤῥαγίῃσι ἀρήγειν. δήλη δὲ ὡς ἐπίπαν γίγνεται μέλλουσα, εἰ γὰρ μὴ πάμπαν εὔσημος· ἄση ξυνέσι, ἀπορίη, βάρος τοῦ τόπου, ἔνθα ῥήσσεται, ἐρύθημα τοῦ προσώπου, ἢν μηδέκω ἐραγῇ. κἢν μὲν ἡ φλὲψ νεοῤῥαγὴς ἔῃ, ὡς ἐπίπαν μαλθάσσεται πάμπαν· ἢν δὲ πρόσω τοῦ χρόνου, χαλεπώτερον καὶ βραδύτερον. τοιάδε μὲν τὰ ἐν ἐντέροις ἕλκεα. γίγνεται δὲ θέρεος ὥρῃ, δεύτερον φθινοπώρου, ἧσσον ἦρος, ἥκιστα χειμῶνος. καὶ διάῤῥοιαι μὲν παιδίοισι καὶ μειρακίοισι· δυσεντερίη δὲ ἀκμάζουσι καὶ νέοισι· γῆρας δὲ δυσαλθὲς γὰρ ἐς ὠτειλὴν χρόνιον· τὰ δὲ ἀνεσθιόμενα γέρουσι, ἀνήκεα. ἀτὰρ γὰρ αἱμοῤῥαγίη ξύμφωνος γήρᾳ.

ΠΕΡΙ ΛΕΙΕΝΤΕΡΙΗΣ, κεφ. ι.

ΗΝ ἐπὶ δυσεντερίῃσι καὶ ἕλκεσι πλατέσι γὰρ κάρτα βαθέσι τῶν ἄνω ἐντέρων ὠτειλαὶ ἐγγίγνωνται πυκναὶ, παχεῖαι, στερέμνιοι, τὰ σιτία ἐκ τῶνδε ἐς τὰ κάτω διεκθέει, ὑγρὰ, ἀδιάκριτα τοῦ τροφίμου. τὸ γὰρ τῶν ἐντέρων ἀραιὸν δι' οὗπερ ἐς τὴν ἄνω φορὴν ἡ τροφὴ ἀναΐσσει, ἀπέκλεισεν ἡ ὠτειλή. ἀτροφίη οὖν τὸν ἄνθρωπον ἴσχει καὶ ἀχροίη γὰρ ἀπορίη, ἐπίκλην τὸ πάθος λειεντερίη ἴσχει· τὸ ἐπὶ τῇ οὐλῇ λέγω τῶν ἐντέρων τοὔνομα. καὶ νῦν μὲν ἐξ ἑλκέων ἐστὶ ἡ πάθη· ἄλλοτε δὲ ἔντερα μὲν ὠτειλὴν οὐκ ἴσχει· ἔθος δὲ καὶ μελέτη διαῤῥυεῖσα ἐκδιδάσκει τὰ ἔντερα. τὸ γὰρ ἐν τουτέοισι θερμὸν ἢν καταψυχθὲν κοτὲ μήτε καταπέσσῃ, μήτε ἐς τὴν ἀναφορὴν ἀναΐσσῃ, τὸ ἄκρατον δὲ ὑπ' ἀσθενίης ἔῃ, διαδιδρήσκει πᾶν ἔργον ἡ τροφή· ἀλλ' ἢν ἐν-

σχέδιος καὶ μὴ ἑδραίη γίνηται ἡ κάθαρσις ἀλλὰ φαύλη, ἁπλοῦς ἔμετος ἀπὸ σιτίων ἔλυσε τὴν νοῦσον. ἢν δὲ παρὲς ὠκέϊ χρόνῳ καὶ ἐν ἕδρῃ ἵζῃ ἡ αἰτίη τουτέων, οὐδὲν ὠφελέει. ὑποκλέει δὲ καὶ χρονίη νοῦσος καὶ ὀρθοστάδην καχεξίη· ἀτὰρ καὶ ὕδρωπές κοτε ἐς τόδε ἀπέσκηψαν εὐτυχῶς, ἐς κακὸν μὲν ἐκ κακοῦ, ἀλλὰ κρέσσων ἡ διαδοχή.

ΠΕΡΙ ΥΣΤΕΡΙΚΩΝ, κεφ. ια.

Ἦσι γυναιξὶ ὑστέρη, ἀγαθὴ μὲν ἐς κάθαρσιν καὶ τόκον· ξυμφορὴ δὲ νούσων μυρίων τε καὶ κακῶν. οὐ γὰρ ἑλκέων ἢ φλεγμασίης ἢ ῥοοῦ μούνων, ἀλλὰ κἢν ἐξαπίνης ὅλη ἄνω κινέηται, ὠκέως κτείνει. γεγράφαται μὲν οὖν ἐν ἄλλοισι, ὁκοῖα τὰ ἀπ' αὐτέων τὰ ὀλέθρια ὀξέα· τὰ δὲ χρόνια ῥόος διπλόος, σκληρίη, ἕλκεα, τὰ μὲν ἀσινέα, τὰ δὲ κακοήθεα, πρόπτωσις ὅλης ἢ μέρεος. ῥόος μὲν οὖν ἔρυθρος ἢ λευκόχροος· ἰδέα δηλοῖ. ἔρυθρος μὲν τὸ αἷμα ξανθὸν, καὶ αἱ τοῦδε ἰδέαι ἢ πελιδνὸν, ἢ μέλαν, καὶ λεπτὸν ἢ παχὺ καὶ πεπηγὸς, οἷον θρόμβοι, ἢ λευκὸς ὡς ὕδωρ, ἢ ὠχρὸς ξανθὸς ὡς χολή· παχὺς δὲ ὁκόσος ὑπόλεπτος, ἢ λεπτὸς ἰχὼρ καὶ κακόδμος· λευκὸς δὲ ὡς πύον, ὁ δὲ ἀρρεκὴς, ὡς λευκὸς ὀῤῥός. ἀτὰρ καὶ αἱμάλωψ κοτὲ τῷ πύῳ συνεκρέει. μυρίαι δὲ ἄλλαι παρὰ τὸ μᾶλλον τουτέων καὶ ἧσσον ἰδέαι. περίοδος δὲ ἄλλοτε μὲν ἡ ἐπὶ μῆνα κάθαρσις, ἀλλ' οὐκ ἐς τὴν ἀρχαίην ξυνίσταται προθεσμίην· οὐ πολλὸν μὲν τὸ αἷμα, ἐν ἡμέρῃσι δὲ πολλῇσι ἐκρέει· ὀλιγήμερος δὲ ἡ διάλειψις, ἀλλὰ καθαρή. ἄλλος περιόδου τρόπος, εἰς προθεσμίην δὲ, καὶ οὐκ ἐς πλῆθος παρὰ πλεῖστον ἢ πρόσθε κάθαρσις· δὶς δὲ καὶ τρὶς καθαίρονται ἀνὰ πάντα τὸν μῆνα· ἄλλη ἰδέη ἀσχέτως μὲν ἡ ῥοὴ καὶ σμικρὴ ἐφ' ἡμέρης ἑκάστης, ἀλλὰ εἰς τὸν ὅλον μῆνα οὐ πάγχυ βαιή. οὐδὲ γὰρ ὑστέρη μύει τὸ στόμα, ἀλλὰ

οἴγνυται, πάρεσιν ἐς ῥύσιν ὑγρότητος παρέχουσα· εἰ δὲ μήτε διαλείπει, μήτε σμικρὸν ἐκρέει, αἱμορραγίῃ θνήσκουσι. σημήϊα δὲ πρὸς τῇσι χροιῇσι τοῦ ῥόου ἡ χροιὴ τῆς αὐτοῦ· ἄγρυπνοι, ἀπόσιτοι, ἀσώδεες, ἔκλυτοι ἐπὶ τὸ ἐρυθρὸν μᾶλλον, καὶ ὀδυνώδεες, καὶ κάκοδμον ἐπ' ἀμφοῖν τὸ ῥεῦμα· ἀλλὰ μᾶλλον καὶ ἧσσον ἄλλοτε καὶ ἄλλοτε. ὁ μὲν γὰρ λευκὸς κακίων ἢν μέζων που ἡ σηπεδὼν ἔῃ· ἄλλοτε δὲ ὁ ἐρυθρὸς ἢν ἀγριαίνῃ ἡ διάβρωσις. ἀθρόον δὲ εἰρήσθω, μέλας μὲν ἁπάντων κακίων, πελιδνὸς δεύτερον· ὠχρὸς δὲ καὶ λευκὸς καὶ πιώδης, μακρότεροι μὲν, ἧσσον δὲ κινδυνώδεες. τούτων δὲ αὖ τέων ὁ ὠχρὸς κακίων μὲν, πολλὸν δὲ κρέσσων ὁ τῷ ξυνήθεϊ μεμιγμένος· ξυνήθης δὲ ἐρυθρὸς μὲν καὶ τὰ τοῦδε εἴδεα· ἀτὰρ καὶ ἀσινέστεροι ταύτῃσι οἱ ξυνήθεες· τὸ δὲ ἀληθὲς γεραιτέρῃσι κακίονες οἱ ἐρυθροί· ἥκιστα δὲ νεήνισι οἱ λευκοί. ἄλλος ῥόος λευκὸς, ἡ ἐπιμήνιος κάθαρσις λευκὴ δριμεῖα, καὶ ὀδαξώδης ἐς ἡδονήν· ἐπὶ δὲ τοῖσι καὶ ὑγροῦ λευκοῦ, παχέος, γονοειδέος πρόκλησις. τόδε τὸ εἶδος γονόρροιαν γυναικείαν ἐλέξαμεν. ἔστι δὲ τῆς ὑστέρης ψύξις, οὕνεκεν ἀκρατὴς τῶν ὑγρῶν γίγνεται· ἀτὰρ καὶ τὸ αἷμα ἐς χροιὴν λευκὴν ἀμείβει. οὐ γὰρ πυρὸς οὐκ ἴσχει τὸ φοινίσσον. τήνδε τὴν πάθην καὶ στόμαχος νοσέει καὶ ἐμέει φλέγμα· ἀτὰρ καὶ ἔντερα ὁμοίην ἴσχει, εὖτε τὴν διάρροιαν νοσέει. γίγνεται ἕλκεα καὶ ἐν ὑστέρῃ, τὰ μὲν πλατέα, κνησμώδεα, ἄτερ ἄλια, ὅκως ἀναδορῇ τις ἐπιπολῆς, πύον παχὺ, ἄνοσμον, ὀλίγον. εὐήθεα τάδε τὰ ἕλκεα· ἄλλα τουτέων βαθύτερα καὶ κακίονα, οἷς πόνοι σμικροὶ, πύον ὀλίγῳ πλεῖον μᾶλλον, κάκοδμα, ἀλλ' ἔμπης εὐήθεα καὶ τάδε· ἢν δὲ ἐπὶ μᾶλλον βαθέα γίγνηται, καὶ τὰ χείλεα τῶν ἑλκέων ἀπηνέα, ἢ τρηχέα, ἰχώρ τις κακώδης, καὶ πόνος τοῦ πρόσθεν μέζων· αἰσθάνεται δὲ τὴν ὑστέρην τὸ ἕλκος· ἐξήκει δέ ποτε καὶ ἀπολυθέντι σαρκίον μὴ εἰς ὠτειλὴν ἰὸν μήκιστον. κλάνει τόδε. χρόνιον γίγνεται κάρτα· τόδε καὶ φαγέδαινα κι-

praeter [illegible]
fluentis
colorem
ipsius muli
eris Col.
magis fetat
si erosio ex
asperetur
purulentus
pallidus ex
his deterior
ejus spect.
revera
ex unde hu
mor
elicitur
ideoq. non
pot retinere
col. m. quippe
non habens
pruriginosa
ab inspersa
sale
d. ipso [illegible]
d. tamen
[illegible]

exit solutione caruncula

κλήσκεται· ὀλέθρια δὲ τὰ ἕλκεα, ἢν πρὸς τοῖσι ἄλγος ὀξὺ ἔῃ καὶ ἡ ἄνθρωπος ἀπορῇ· σηπεδὼν δὲ ἀπὸ τοῦ ἕλκεος ῥέει ὕπε αὐτέῃσι φορητή, ἀγριαίνει ψαύσεσί τε καὶ φαρμάκοισι, καὶ χαλεπαίνει πῶς καὶ ἰητείῃ· φλέβες δὲ ἐν ὑστέρῃ ἐς ὄγκον αἴρονται ξὺν περισάσεσι τῶν πέλας· ἔστι δὲ πεπυρωμένοισι οὐκ ἀσήμαντα τῇ ἀφῇ· οὐ γὰρ ἄλλως δῆλον· πῦρ δὲ καὶ ἄση τοῦ παντὸς καὶ σκληρείη ξυνέστιν, ἢν παρὰ τοῖσι θηριώδεσι θανατώδεα ὄντα ἕλκεα· ἀτὰρ καὶ ἐπίκλησιν ἴσχει καρκίνων. ἄλλος καρκίνος, ἕλκος μὲν οὐδαμῇ, ὄγκος δὲ σκληρός, ἀτέραμνος· ξυνεπιταίνει δὲ τὴν ὑστέρην ὅλην, ἀτὰρ καὶ ἄλγεα καὶ τὰ ἄλλα ὅσα ἐφέλκει· τὰ αὐτὰ δὲ ἄμφω τὰ καρκινώδεα, καὶ χρόνια, καὶ ὀλέθρια· πολλὸν δὲ τὸ ἕλκος τοῦ ἀνελκώτου κάκιον, καὶ ὀσμῇ, καὶ πόνοισι, καὶ ζωῇ, καὶ θανάτῳ. ἐξίσταταί κοτε τῆς ἕδρης ἡ ὑστέρη ὅλη, καὶ ἐπὶ τοῖσι μηροῖσι τῆς γυναικὸς ἰζάνει. ἄπιστος ἡ ξυμφορή, ἀλλ' οὐκ ἀσθενὴς ἡ ὑστέρη, οὐδὲ ἀγνώνητος ἡ αἰτίη. ξυνδίδοισι γὰρ οἱ ὑμένες, οἱ πρὸς τοὺς λαγόνας, ὀχέες τῆς ὑστέρης ἐόντες νευρώδεες· οἱ μὲν κατὰ πυθμένα πρὸς τὴν ὀσφὺν λεπτοί· οἱ δὲ κατ' αὐχένα ἔνθα καὶ ἔνθα πρὸς τοὺς λαγόνας· οἱ δὲ μάλιστα νευρώδεες, πλατέες ὅκως νεὼς λαίφεα. πάντες οὖν ξυνδίδοισι οἵδε, ἢν ἔξω ἡ ὑστέρη ἀΐσσῃ. κινεῖ μὲν οὖν τὰ πολλὰ ἔκπτωσις ἥδε. γίνεται γὰρ ἐπὶ ἀμβλυσμοῖσι καὶ σεισμοῖσι μεγάλοισι καὶ βιαίῳ τόκῳ· ἢν δὲ μὴ κτάνῃ, ἐς μακρὸν αἵδε ζώουσιν, ὁρέουσαι τὰ μὴ θεητά, καὶ ὠθέουσαι ἔξω, καὶ καυκαλῶσαι τὴν ὑστέρην· δοκέει δέ κοτε τῆς διπλόης τῆς ὑστέρης ὁ ἔνδον ὑπεζωκὼς χιτὼν, οὔτε ἀποσπᾶται τοῦ ξυναφέος. δοιαὶ γὰρ αἴξιες μοῦναι ἀπηλλαγμέναι χιτῶνος· ὁ δὲ οὖν ἀφίσταται μὲν καὶ ῥεύματι, ἅτε καὶ ἐκτρωσμῷ καὶ βιαίῳ τόκῳ, οὔτε ἐπὶ τῷ χρείῳ πρὸς πέφυκεν αὐτέῃ. ἢν γὰρ τόδε ἕλκηται βίῃ, ξυνεκπεράσας ὁ τῆς ὑστέρης χιτὼν, ἀλλὰ ἢν μὴ ἀποθάνῃ ἡ γυνή, παλίνορσος τὸ αὐτὸ ξυνήφθη κοτὲ σταθμῇ, ἢ

1 ea tacta est
2 exasperatur
medelas
irritatur
3 ob distensas
4 ad percussus
non obscu-
rum tactu
5 ut postea in
exasperatis
6 ac renitens
7 relapsa ex
lizam
8 nervosa
9 quo alteri
fundo inse-
runtur
10 navigii
velas
11 abortu
12 carnle
germinan-
tem
femoribus
13 divellitur continuitate 14 membrana
15 abortu
16 simul prodit
17 regressa in sedem suam
ad anamnesim erectam

σμικρὸν ἔξω φαίνεται. σκέπει γὰρ τοῖσι μορίοισι ἡ γυνή. προσπίπτει κοτὲ τὸ στόμιον τῆς ὑστέρης μοῦνον μέσφι τοῦ αὐχένος, ἀλλ' αὖθις εἴσω δύεται, ἢν ὀσφραίνηται ἡ ὑστέρη, θυμιήσι κακοδέσι. ἕλκει δὲ αὐτέην καὶ ἡ γυνὴ, ἢν ὀσφραίνηται θυμιητῶν εὐωδέων· ἀτὰρ καὶ χερσὶ μαίης ἀτρέμα εἴσω θέει, ἡσυχῇ πιεζομένη καὶ χριομένη πρόσθεν τοῖσι ὑστέρης μειλίγμασι.

ΠΕΡΙ ΑΡΘΡΙΤΙΔΟΣ, ΚΑΙ ἰσχιάδος

κεφ. ιβ.

Ξυνὸς μὲν ἁπάντων τῶν ἄρθρων πόνος ἡ ἀρθρῖτις· ἀλλὰ ποδῶν μὲν ποδάγρην καλέομεν, ἰσχιάδα δὲ ἰσχίων, χειράγρην δὲ χειρῶν. ἥν γε μὴν ῥήδιος ᾖ ἐπὶ τῇ τῶν προσκαίρων αἰτίων ὁ πόνος, ἢ κρύβδην δὲ μελέτησι πουλὺν χρόνον ἡ νοῦσος, εὖτ' ἐπὶ προφάσι σμικρῇ ὁ πόνος καὶ ἡ νοῦσος ἐξήφθη. ἔστι δὲ ἁπάντων ξυλλήβδην τῶν νεύρων ἡ πάθη, ἢν αὐξηθὲν τὸ κακὸν ἅπασι ἐπιφοιτῇ. ἀρχὴ δὲ, νεῦρα τὰ δεσμὰ τῶν ἄρθρων, καὶ ὁκόσα ἐξ ὀστέων πέφυκε, καὶ ἐν ὀστέοισι ἐμφυῶς. θῶυμα δὲ τουτέων μέγα· οὐ πονέει μὲν γὰρ θρὶξ, οὐδ' ἢν τέμνῃ τις ἢ θλίβῃ· ἢν δὲ ἐξ ὠυτέων πονῇ, οὐδὲ ἕτερον ἀλγέει τοῦδε δυνατώτερον, οὐ σιδήρεα σφίγγοντα, οὐ δεσμὰ, οὐ τιτρῶσκον ξίφος, οὐ καῖον πῦρ. καὶ γὰρ καὶ ταῦτα ἐπαναιρεῦνται ὡς μεζόνων πόνων ἄκεα· καὶ ἢν τάμῃ τις αὐτὰ, πονεῦνται, ἀμαυροῦται ὁ τῆς τομῆς πόνος σμικρὸν ὑπὸ τοῦ μέζονος· ἢν δὲ ὅδε κρατέῃ, ἡδονὴ σφέας λάζυται ἐπιλήθουσα τῆς πάρος. πάσχουσι δὲ τοῦτο ὀδόντες καὶ ὀστέα. αἰτίην δὲ ἀτρεκέα μὲν ἴσασι μοῦνοι θεοὶ, ἐοικυῖαν δὲ καὶ ἄνθρωποι· ἔστι δὲ ὡς ἔπος εἰπεῖν, τοιόνδε. τὸ μὲν κάρτα πυκνὸν ἀναίσθητον ψαύσιος καὶ βώσιος, τῇδε καὶ ἄπονον ψαῦσι καὶ τρῶσι. ἄλγος γὰρ τρηχεία ἐν αἰσθήσι. τὸ δὲ πυκινὸν ἀτρήχωτον· διὰ τόδε καὶ ἄπονον· τὸ δὲ ἀραιὸν, εὐαισθη-

πον, καὶ ῥηχιοῦται τῷ σώματι. ἀλλ' ἐπεὶ καὶ τὰ πυκνὰ ζῇ ἐμφύτῳ θέρμῃ, καὶ αἰσθάνοιτο τῇδε τῇ θέρμῃ. εἰ μὲν οὐσιώδης ἡ δρῶσα αἰτίη ἔοι, οἷον ἡ μάχαιρα ἢ λίθος, τὸ οὐσιῶδες τοῦ πάσχοντος οὐκ ἀλγέει· πυκνὸν γὰρ τὴν φύσιν. ἢν δὲ τῆς ἐμφύτου θέρμης δυσκρασίην λάβηται, αἰσθήσιος γίγνεται ἐπιτυχής. τουτέων δὲ ἐξ ἑωυτέης πονέει ἡ θέρμη, ἐκ τῆς κατ' αἴσθησιν ἔσωθεν ἐγείρεται ὁ πόνος. φύσιος δὲ τῆς ἐς μέζω ἢ προποιΐης, τὰ ἄλγεα. ἐγχρίμπτεται δὲ ἡ ἀρθρῖτις ἄλλοτε ἐς ἄλλα ἄρθρα, τοῖς μὲν ἐς ἰσχία, καὶ τὰ πολλὰ τῇδε ἐπιμίμνει γυίοις, ἅσσα τε μέζεα κοτὲ μικρὸν, οὔτε οὐδὲ ἐπὶ τὰ σμικρὰ φοιτῇ, πόδας τε καὶ χεῖρας. ἢν γὰρ μειζόνων λάβηται μελέων χωρῆσαι τὴν νοῦσον δυναμένων, οὐχ ὑπερβαίνει τὰ ὄργανα. ἢν δὲ ἀπὸ τοῦ σμικροῦ ἄρξηται, ἐστὶ εὐήθης καὶ ἀδόκητος ἡ εἰσβολή. ἰσχιάδος μὲν ἀπὸ ἀπὸ μηροῦ κατόπιν ἢ γνύος, ἢ κνήμης, ἡ ἀρχή. ἄλλοτε δὲ ἐπὶ τῇ κοτύλῃ τὸ ἄλγημα φαίνεται, αὖθις ἐς γλουτὸν ἢ ὀσφὺν ἱκέλη, καὶ πάντα μᾶλλόν ἐστιν ἢ δόκησις ἰσχίου. ἀτὰρ καὶ τὰ ἄρθρα ὧδέ πως ἄρχεται· τοῦ ποδὸς τὸν μέγαν δάκτυλον ἀλγέει, αὖθις τὴν ἐπιπρόσω πτέρνην, ᾗ ποτε στηριζόμεθα· ἔπειτα ἐς τὸ κοῖλον ἥκει· τὸ δὲ σφυρὸν ἐξῴδησε ὕστατον. πρόφασιν δὲ αἰτιῶνται ἀναίτιον, οἱ μὲν κρηπῖδος καινῆς τρίβον· οἱ δὲ μακρὴν περίοδον· ἄλλος δὲ πληγὴν ἢ πάτημα· οὐδεὶς δὲ φράσει τὴν οἴκοθεν οὖσαν. ἀτὰρ καὶ ἀκούσασι τοῖσι πάσχουσι τὸ ἀτρεκὲς ἔδοξε ἄπιστον. διὰ τόδε ἐς ἀνήκεστον ἐτράπη, ὅτι παρὰ τῇσι ἀρχῇσι ὁκότε ἀσθενεστάτη ἐστὶ ἡ νοῦσος, ὁ ἰητρὸς οὐκ ἐνίσταται. ἢν δὲ χρόνῳ κρατυνθῇ, φαίνοντος ἢ μηδέ τι. κοτὲ μὲν οὖν ἐς ποδῶν ἄρθρα μίμνει μέσφι θανάτου· κοτὲ δὲ νέμεται ἐς τὴν τοῦ παντὸς σκήνεος περίοδον. τὰ πολλὰ δὲ ἀπὸ τῶν ποδῶν ἐς χεῖρας ἤϊξε. οὐ γὰρ μεγάλα τὰ ὄρεια τῇ νούσῳ χειρῶν τε καὶ ποδῶν, ὅτι ἀμφοτερόμοφυέα, ἰσχνὰ καὶ ἄσαρκα, καὶ ἐγγυτάτω τοῦ ἔξω ψύχεος· ἀπωτάτω δὲ τοῦ ἔσω θάλ-

cubitus

πος. αὖθις ἀγκὼν καὶ γόνυ· ἐπὶ δὲ τοῖσι κοτύλαι, περίδροφος ἤδε μετάβασις ἐς νώτου μύας καὶ θώρηκος. ἄπιστον εἰς ὅσον ἕρπει τὸ κακόν. σπόνδυλοι ἀλγέουσι ἐσχάτου τε καὶ αὐχένος, καὶ ἐς ἄκρον ἐρείδει τοῦ ἱεροῦ ὀστέου· καὶ ξυμπάντων τε ὀβοῖς, ὄνος, καὶ ἡ ἰδέη ἑκάστου ὀδύνη. ἀτὰρ ἤδε τένοντες, ἠδένυ μύες ξὺν ἐντάσει ἀλγέουσι. γνάθων καὶ κροτάφων μύες, νεφρῶν καὶ κύστιος ἡ διαδοχή. ὤτου θώματος. ἐπὶ πᾶσι παρὰ ῥῖνας καὶ ὦτα καὶ χείλεα. πάντη γὰρ νεῦρα καὶ μύες. τῆς κεφαλῆς ἤλγεε τὰς ῥαφὰς, οὐκ εἰδὼς μὲν ὅ,τι πονέει, ἐδείκνυε τῶν ῥαφῶν τὰ εἴδεα λοξὴν, εὐθεῖην, ἐπικάρσιον, ὀπίσω τε καὶ πρόσω· ἴσχε τὴν δὲ τὴν ὀδύνην καὶ τοῖσι ὀστέοισι ἐμπεπαρμένην. πᾶσαν γὰρ ὀστέων ξυμβολὴν νέμεται ἡ νοῦσος, ὅκως ποδὸς ἢ χειρὸς ἄρθρον. γίγνονται δὲ τῶν ἄρθρων καὶ ἐπιπωρώσιες. τὰ πρῶτα μὲν ὁκοῖον ἀποστάσιες ἴσχουσι· ἐπὴν δὲ μᾶλλον πυκνοῦνται, καὶ πηγνυμένου τοῦ ὑγροῦ ἀπινέες αἱ ἀφέπες. τέλος δὲ πῶροι στερροὶ, λευκοὶ ξυνίστανται· ἐς δὲ πᾶν ὄγκοι σμικροὶ ὁκοῖον ἴονθοι, καὶ μέζονες· ὑγρὸν δὲ παχὺ, λευκὸν, χαλαζῶδες. καὶ γὰρ τοῦ παντὸς ἡ νοῦσος ψυχρὴ ὅκως χάλαζα. δοκέει δὲ θέρμης ἢ ψύξιος ἴσχειν διαφορήν. καὶ γὰρ τοῖσι τῶν εὖ βδελυκτέων ἡδονή· ἐμοὶ δὲ ἀνδάνει μίην μὲν αἰτίην τὴν ἔμφυτον ψύξιν ἔμμεναι, μίην δὲ καὶ πάθην· ἀλλ' ἢν μὲν εὐθέως ἐπιδῶν καὶ θέρμην φανῇ, ἐμψύξιος χρέος, καὶ τοῖσι τέρπεται. ὀνομάζουσι δὲ θερμὴν τήνδε· ἢν δὲ ὁ πόνος ἐν τοῖσι νεύροισι εἴσω μίμνῃ, ξυμπεπλώκῃ δὲ τὸ ἄρθρον ἄθερμον, μηδὲ ἐποιδέῃ, ψυχρὴν τήνδε φαίην ἔμμεναι, ἐφ' ἧς θερμῶν φαρμάκων ἐς ἀνάκλησιν θέρμης χρέος. χρὴ δὲ τάδε πολλὰ τῶν κάρτα δριμέων. θερμασίη γὰρ τά τε ξυμπεπλωκότα μέρεα εἰς ὄγκον ἤγειρε, καὶ τὴν ἔσω θέρμην ἐς ἀνάκλησιν ἤγαγε. οὔτε τῶν ψυχρῶν χρέος. πίστις· τοῖσι γὰρ αὐτέοισι οὐ τὰ αὐτὰ ξυμφέρει. τὸ γὰρ ὅ ποτε ξυνήνεικε, τοῦτ' ἔβλαψεν ἄλλοτε. ὡς δὲ ἔ-

infigitur
ad Musculi et
glandibus

ad obliquum
rectam trans-
versam
infixum
b Compressionem
c. Callositas
dura Osium
extremitas
Tophi solidi.

Equandoq[ue]
modo ex calore
frigore
Voluptas
mihi placet
Q inesse
id Genus cali-
[illegible]
η collabitur
fidem facit
eisdem eadem
non conveniunt.

ἐλαφρὴν ἄλλοτε· ὡς δὲ ἔπος εἰπεῖν, θέρμης ἐπὶ τῇ ἀρχῇ, ψύξιος δὲ ἐπὶ τῷ τέλει χρέος. ξυνεχὴς μὲν οὖν ποδάγρη οὐ ῥηϊδίως γίγνεται, διαλείπει δὲ ἔσθ' ὅτε χρόνον μακρόν. λεπτὴ γάρ· καὶ ὀλυμπιάσι ἐνίκησε ποδαγρὸς ἐπ' ἀνέσει δρόμον. ἀλλ' ἄνδρες μὲν παθεῖν ῥηΐτεροι, γυναικῶν δὲ ἐλαφρότερον· γυναῖκες δὲ ἀραιότερον μὲν ἀνδρῶν, χαλεπώτερον δέ. τὸ γὰρ μὴ ἐν ἔθεϊ, μηδὲ οἰκεῖον, ἢν ὑπὸ ἀνάγκης κρέσσονος γίγνηται, βιαστὴν μέζονα ἐκλύει τὴν ξυμφορήν. ἡλικίη τὰ πολλὰ μὲν ἀπὸ ἐτέων πέντε καὶ τριήκοντα· θᾶσσον δὲ καὶ βράδιον ἐκ τῆς ἑκάστου φύσιος, καὶ διαίτης. δεινοὶ μὲν οὖν οἱ πόνοι, καὶ τὰ παριόντα πόνων μέζονα· λειποθυμίη, ἐπὶ τῇσι ψαύσεσι ἀκινησίη, ἀποσιτίη, δίψος, ἀγρυπνίη· ἢν δὲ ἐπανέλθωσι, τοῦτο μὲν ὅκως ἐκ θανάτου πεφευγότες, ἄνετοι τὸν βίον, ἀκρατέες, ἁπλοῖ, εὔθυμοι, δωροδόκοι, καὶ ἐς τὴν δίαιταν ἁβροί· τοῦτο δὲ ὡς ἐκ θανάτου αὖθις ἐσόμενοι ἄδδην χρέονται τῇ παρούσῃ ζωῇ. ἀπέσκηψε πολλοῖσι ἐς ὕδρωπα ἡ ποδάγρη, ἄλλοτε δὲ ἐς ἆσθμα· καὶ τῶνδε ἄφυκτος ἡ διαδοχή.

ΠΕΡΙ ΕΛΕΦΑΝΤΙΑΣΙΟΣ, κεφ. ιγ.

Ἐλέφαντι τῷ πάθεϊ καὶ τῷ θηρίῳ τῷ ἐλέφαντι ξυνὰ μόεια, καὶ ἰδέῃ, καὶ χροιῇ, καὶ μεγέθεϊ, καὶ βιοτῇ· ἀτὰρ οὐδὲ ἄλλῳ τῳ ἴκελα, οὔτε τὸ πάθος πάθεϊ, οὔτε τὸ ζῶον ζώῳ. ἐλέφας μέν γε τὸ θηρίον καὶ κάρτα διαφέρον· περιόπτα μέν γε μέγιστον καὶ πάχιστον· μεγέθεϊ μὲν, ὁκόσον ἂν ζῶον ἐπ' ἄλλῳ ζώῳ πυργηδὸν ἀναθείης μέγα· πάχιστον δὲ, ἐς πλεῦνα ζῶα παχέα, εἰ παράλληλα ξυνθέῃς. ἀτὰρ οὐδὲ ἰδέην κάρτα τῳ ἴκελον· χροιὴν μὲν μέλανος κατακορέος ἅπαντες καὶ δι' ὅλου τοῦ σκήνεος. ἵππος μέν γε ἄλλος μὲν λευκότατος, ὅκως οἱ Θρήϊκες Ῥήσου· ἄλλοι δὲ πόδαργοι, ὅκως Μενέλεω πόδαργος. οἱ δὲ ξανθοί,

ὅκως

ὅκως ἑκατὸν καὶ πεντήκοντα· ἄλλοι δὲ κυάνεοι. Ἵππῳ ἑσσάμενος παρήιξατο κυανοχαίτης. ὧδε καὶ βόες, ὧδε καὶ κύνες, ἠδὲ ὁκόσα ἀνὰ τὴν γῆν ἑρπετὰ καὶ ζῶα φέρβεται. ἐλέφαντες δὲ μοῦνοι μέλανες, ζοφοειδέες τὴν χροιήν· νυκτὶ δὲ καὶ θανάτῳ ἴκελοι. ἰδέην δὲ, κάρηνα μὲν κατέχων καὶ πρόσωπα ἄσημα, ἄδηλα τὴν μορφήν, ἐπ' αὐχένι σμικρῷ, ὡς δοκέειν τὴν κεφαλὴν ἐπὶ τοῖσι ὤμοισι ἵζανειν· καὶ ὧδε οὐκ ἔκδηλον. ὦτα γὰρ μεγάλα, πλατέα, πτερυγώδεα, μέσφι κληΐδων τε καὶ στέρνων· ὃς ἔκρυψε τὸν αὐχένα τοῖσι ὠσί, ὅκως νῆες λαίφεα. κέρατα δὲ θῶυμα διάλευκα ὁ ἐλέφας ἐπὶ μέλαντι τῷ· μετεξέτεροι τάδε ὀδόντας κικλήσκουσι· τάδε μοῦνα λευκότατα, ὅκως οὐδενὸς ἄλλου τε οὐδὲν οὐδὲ λευκοῦ ζώου· καὶ τάδε οὐχ ὑπὲρ μέτωπα καὶ κροτάφους, ὅκως τοῖσι κερασφόροισι ἡ φύη· ἀλλὰ κατὰ στόμα καὶ τὴν ἄνω γνάθον, ὄρθια μὲν ἐς τὸ πρόσθεν οὐ κάρτα· ἀλλὰ ἄνω σμικρόν τι καμπύλα· ὅκως ἐν τῷ ἀντιστάτῃ ἐκ τοῦ ὀρθίου ἐνείη, καὶ ἄρασθαι ἄχθος ἐν τοῖσι ὀδοῦσι σιμοῖς. μεγάλα δὲ τὰ κέρατα, μῆκος μὲν ὁκόσον ὀργυιὴ οἱ μέσοι· ἄλλοι δὲ πολλόν τι τουτέων μέζοις, μέσφι διπλῶν. προβολὴν δ' ἴσχει ἡ ἄνω γνάθος ἀπὸ τοῦ χείλεος μακρὴν, αἰόρεον, σκολιὴν, ἑρπετώδεα. δοιαὶ δὲ ἐπὶ τὸ ἄκρον τῆς προβολῆς ἔασι ἐκρήσιες· καὶ τάδε διαμπερὲς μέσφι τοῦ πνεύμονος ἐτέρηνεν ἡ φύσις, ὅκως αὐλὸν διφυέα· χρέεται δὲ τὸ ζῶον ἐς ἀναπνοιὴν, ὅκως ῥινὶ τῇδε τῇ σύριγγι· ἀτὰρ καὶ χερσὶ τῇδε· καὶ κωθώνιον γὰρ λάζοιτο ὁκότε θέλει τῇ προβολῇ ἀμφιλαμβάνει τε καὶ ἴσχει κραταιῶς, καὶ οὐκ ἄν τις ἀφέλοιτο αὐτέου βίῃ, ἢν μὴ κρέσσων ἄλλος ἐλέφας· ἀτὰρ καὶ πίην ἐς νομὴν τῇδε μαστεύει, οὐδὲ τῷ στόματι καὶ τοῖσι σμικροῖσι ὀδοῦσι ἔδων σάρκας ζῇ. πόδες γὰρ οἱ μήκεες ὕπερθεν τῆς γῆς πολλὸν τὸ ζῶον ἀνέχοντες· ἀτὰρ καὶ σμικρὸς αὐχὴν ὅκως ἔλεξα. οὔκουν δύναται τῷ στόματι εἰς τὴν γῆν νέμεσθαι. ποτὲ καὶ

ἢ τῶν κεράτων περὶ τοῦ στόματος ἔκφυσις εἴργει τῆς πόης ἅπτεσθαι τὸ στόμα. ἐπιδρομῇ αἱμάσσεται τῇ προσβολῇ φόρτον μέγαν· ἔπειτα ὁκόσα * · μᾶλλον δὲ τηρεῖ τῇδε ξυνδῆσαι τῷ στόματι· ἀντίθησι πολλὸν τῇ κοιλίῃ· ἥν τε οἱ πρῶτοι προβοσκίδα τήνδε καλέουσι· ἐπίπροσθεν γὰρ τοῦ ζώου τῇδε βόσκεται. ἀτὰρ οὐδὲ πιεῖν ἀπὸ λίμνης, ἢ ποταμοῦ τῷ στόματι θέμις· ἡ αὐτὴ γὰρ αἰτίη· ἀλλὰ ἣν διψῇ, ἐντίθεται μὲν τῷ ὕδατι τῆς προβοσκίδος ἄκρην τὴν ῥῖνα· ἔπειτα ὅκως ἀναπνέων, ἀντὶ τοῦ ἠέρος, τοῦ ὕδατος ἕλκει πολλόν· ἐπὴν δὲ πλήσῃ ὅκως κώθωνα τὴν ῥῖνα, τῷ στόματι ποταμηδὸν ἐκχέει· εἶτ' αὖθις ἕλκει, καὶ αὖθις ἐκχέει, ἔστ' ἂν πλήσῃ ὅκως φορτίδος νηὸς τὴν γαστέρα. ῥινὸν τρηχὺν καὶ πάχιστον, ὀχθώδεας ῥωγμοὺς ἴσχοντα, αὐλῶνας ἐπιμήκεας, ἑτέρας ἐντομὰς κοίλας, ἐπικαρσίους, ἄλλας δὲ λοξάς, βαθείας κάρτα, ἴκελον τὸ ξύμπαν τελεποδονίῳ. τρίχες δὲ ἄλλοισι μὲν ζώοισι φύσει τοιαίδε αἱ χαῖται· ἐλέφαντι δὲ τόδε ἐστὶ ὁ χνοῦς. μυρίαι δὲ καὶ ἄλλαι παραλλαγαὶ πρὸς τὰ ἄλλα ζῶα. καὶ γὰρ ὀπίσω κοτὲ κατὰ γόνυ κάμπτει, ὅκως ἄνθρωπος, καὶ μαζὸν πρὸς τῇσι μασχάλῃσι ἴσχει, ὅκως γυναῖκες· ἀλλ' οὔτι μοι χρέος ταννῦν ἀμφὶ τοῦ ζώου γράφειν· πλὴν ὁκόσον ἐξ ἄλλων τε καὶ ἡ νοῦσος ὁ ἐλέφας, καὶ ὁκόσα ἴκελα ἡ ἰδέη τοῦ νοσέοντος ἴσχει τῇ τοῦ ζώου φυῇ. ἐκίκλησκον δὲ καὶ λέοντα τὸ πάθος, τοῦ ἐπισκυνίου τῆς ὁμοιότητος εἵνεκεν, τὴν ὕστερον φράσω· ἢ δὲ σατυρίησιν τῶν τε μήλων τοῦ ἐρυθήματος, καὶ τῆς ἐς συνουσίαν ὁρμῆς ἀσχέτου τε καὶ ἀναισχύντου. ἀτὰρ καὶ ἡράκλειον, ὅτι τοῦδε μέζον οὐδέν, οὐδὲ ἀλκιμώτερον. μέγα μὲν ὦν τὸ πάθος ἐς δύναμιν. κτεῖναι γὰρ πάντων μᾶλλον δυνατώτατον· ἀτὰρ καὶ ἰδέσθαι αἰσχρόν, καὶ δειματῶδες τὰ πάντα, ὡς ἐλέφας τὸ θηρίον. ἀλλ' ἄφυκλος ἡ νοῦσος· ἴκελον γὰρ θανάτου ἐστὶ αἰτίη. ψύξις ἐστὶ τοῦ ἐμφύτου θερμοῦ ἢ μικρά τε, ἢ καὶ πάγος, ὡς ἔνι μέγα χεῖμα· ὅτε τὸ ὕδωρ τρέπεται ἐς χιόνα, ἢ

Os Processus
a) ab herba
distinet
pabulum
um subvehit
extremam
narem proboscidis
quoad naris
instar [illegible]
=tia ventris
compleverit
Corium
asperum in
modibus rugo-
tis fissura
[illegible] incisa
transversa
alia obliqua
d est juba
e Lanugo
d differentes
x prope ax-
illas + Leonem

x Coitus et Herculeum c. potius Conge-
-gelatio

Grand. Glac. Gelu ...

καὶ χάλαζαν, ἢ κρύσταλλον, ἢ πάγον. ἥδε ἐστὶ ἡ ξυνὴ θανάτου καὶ τοῦ πάθεος αἰτίη. ἀτὰρ οὐδὲ ἴσχει τέκμαρ οὐδὲν ἡ ἀρχὴ τῆς νούσου μέγα· οὐδέ τι ξενοπρεπὲς κακὸν τὸν ἄνθρωπον ἐπιφοιτῇ· οὐδὲ ἐπὶ τῇσι ἐπιπολῇσι τοῦ σκήνεος φαντάζεται, ὡς ἰδεῖν τε εὐθὺς καὶ ἀρχομένῳ ἀρῆξαι. ἀλλὰ τοῖσι σπλάγχνοισι ἐμφωλεῦσαν ὅκως ἀΐδι, πῦρ ἤδη τύφεται, καὶ τῶν εἴσω κρατῆσαν, αὖθίς κοτε ἐπιπολαίως ἐξάπτεται, τὰ πολλὰ μὲν ὅκως ἀπὸ σκοπιῆς τοῦ προσώπου ἀρχόμενον τηλεφανὲς πῦρ κακόν. μετεξετέροισι δὲ, ἀπὸ τοῦ ἄκρου ἀγκῶνος, γούνατος, κονδύλων, χειρῶν τε καὶ ποδῶν. τῇδε καὶ ἀνέλπιστοι οἱ ἄνθρωποι, ὅτι περ ὁ ἰητρὸς οὐ πρὸς τὰς ἀρχὰς τὰς ἀσθενεστάτας τοῦ πάθεος, τῇ τέχνῃ χρέεται ῥᾳθυμίῃ καὶ ἀγνοίῃ τῶν καμνόντων τῆς ξυμφορῆς. νωθέες μὲν γὰρ, ὡς ἀπὸ σχεδίου προφάσιος· ὑπναλέοι, ἥσυχοι, τὴν κοιλίην ἐπίξηροι. τάδε καὶ τοῖσι ὑγιαίνουσι κάρτα οὐκ ἄηθεα· ἐπὶ δὲ τῇσι αὐξήσεσι τοῦ πάθεος, ἀναπνοὴ βρομώδης, ἐκ τῆς ἔνδον ἀναφορῆς τοῦ πνεύματος. τοιάδε ὁ ἀὴρ, ἢ τὴν ἔξωθεν αἰτίην ἴσχειν δοκέει· οὖρα παχέα, λευκὰ, θολερὰ, οἷα ὑποζυγίου· ἀφροδισίων ὁρμή τε καὶ ἀπέπτων ἡ ἀνάδοσις, καὶ οὔτε τουτέων ἐστὶ αἴσθησίς τε καὶ μελέτη. οὐδὲ γὰρ οὐδ' ἢν μὴ πέψωσι γιγνώσκουσι· ὁμοίη ἀπεψίη καὶ πέψιος ἡδέ· εἰς χρηστὸν γὰρ ἢ οἰκεῖον, οὐ ξυνήθης αὐτέοισι ἡ πέψις. ἀνάδοσις δὲ ῥηϊδίη, ὅκως ἐς τὴν ἑωυτέων τροφὴν, ἁρπάζειν ἕλκοντος τοῦ πάθεος. διὰ τόδε ἐπίξηροι τὴν κάτω κοιλίην· ὄχθοι ἐπανιστάμενοι, ἄλλοι παρ' ἄλλοις ξυνεχέες μὲν οὐδέκω, παχέες δὲ καὶ τρηχέες, καὶ τὸ μεσηγὺ τῶν ὄχθων ἐῤῥεῖτο, ὅκως τὸ ῥινὸν ἐλέφας· εὐρέαι δὲ φλέβες, οὐ πλημμύρῃ τοῦ αἵματος, ἀλλὰ τῷ τοῦ δέρματος πάχει· οὐκ ἐς πολλὸν δὲ καὶ ἕδρα δηλοῖ τοῦ παντὸς εἰς ἴσον ὄχθον ἐγειρομένου· τρίχες ἐν μὲν τῷ παντὶ προτεθνήσκουσι, χερσὶ, μηροῖσι, κνήμῃσι, αὖθις ἥβῃ, γενείοισι ἀραιαὶ, ψεδναὶ δὲ καὶ ἐπὶ τῇ κεφαλῇ κόμαι· τὸ δὲ μᾶλλον πρόωρος

inusitatum superficie occurrens delitescens succendit ut occultus ignis demum in superficiem et conspicuus effulget g in extremo cubito genus et pede et exhalatio cibi digestio et coitus tumores asp insurgunt ... Eleph. Cornu pube, mento

praematuram canities, Calvities repente ingruunt pubes et mento glabra

πολιοὶ, καὶ φαλάκρωσις ἀθρόη. οὐκ εἰς μακρὸν δὲ ἤδη καὶ γένειον ψιλά· εἰ δὲ καὶ ἐπιμίμνοιεν παῦραι τρίχες, ἀπρεπέστεραι τῶν ἀποιχομένων· δέρμα τῆς κεφαλῆς κατερρωγὸς ἐς βάθος· ῥυτίδες δὲ συχναὶ, βαθεῖαι, τρηχεῖαι· ὄχθοι ἐς τὸ πρόσωπον σκληροὶ, ὀξέες· ἄλλοτε μὲν ἐς κορυφὴν λευκοί· χλοωδέστεροι δὲ τὴν βάσιν· σφυγμοὶ μικροὶ, βαρέες, νωθροὶ, ὅκως δι' ἰλύος μόλις κινεύμενοι· φλέβες κροτάφων ἐπηρμέναι, καὶ ὑπὸ τῆς γλώσσης. κοιλίαι χολώδεες. γλῶσσα χαλαζώδεσι ἰόνθοισι τρηχεῖα· οὐκ ἀδόκητον δὲ τὸ ξύμπαν σκῆνος ἔμπλεων τοιῶνδε ἔμμεναι. καὶ γὰρ καὶ τοῖσι κακοχύμοισι ἱερείοισι τὰ κρέα χαλάζης ἐστὶ ἔμπλεα· ἢν δὲ πολλὸν αἰρῆται ἀπὸ τῶν ἔνδοθεν ἡ πάθη, καὶ ἐπὶ τοῖσι ἄκροισι φανῆται, λειχῆνες ἐπὶ τοῖσι ἄκροισι δακτύλοισι, γούνασι κνησμοὶ, καὶ τῶν κνησμῶν ἅπτονται μεθ' ἡδονῆς· ἀμπίσχει δὲ ὁ λειχὴν καὶ γένειον κολὲ ἐν κύκλῳ· ἐρεύθει δὲ καὶ μῆλα ξὺν ὄγκῳ οὐ κάρτα μεγάλῳ· ὄπιες ἀχλυώδεες, χαλκώδεες· ὀφρύες προβλῆτες, παχεῖαι, ψιλαὶ, βρίθουσαι κάτω, μεσοφρύων ξυνηγμένων, ὀχθώδεες· χρῶμα πελιδνὸν, ἢ μέλαν· ἐπισκύνιον οὐ μέγα ἕλκεται καλύπτειν ὅσσε, ὅκως τοῖς θυμουμένοις, ἢ λέουσι· διὰ τόδε, καὶ λεόντιον κικλήσκεται. τοιγαροῦν, οὐ λέουσι, οὐδὲ ἐλέφαντι μοῦνον, ἀλλὰ καὶ νυκτὶ θοῇ ἀταλάντω· ὑπώπια, ῥὶς, σὺν ὄγκοισι μέλασι, ὀκριοειδέες, χειλέων προβολὴ παχέη· τὸ δὲ κάτω πελιδνόν· ἔκρινες, ὀδόντες οὐ λευκοὶ μὲν, δοκέοντες δὲ ὑπομέλανες, ὦτα ἐρυθρὰ, μελανόεντα, κεκλεισμένα, ἐλεφαντώδεα, ὡς δοκέειν μέγεθος ἴσχειν μέζον τοῦ ξυνήθεος. ἕλκεα ἐπὶ τῇσι βάσεσι τῶν ὤτων, ἰχῶρος ῥύσις, κνησμώδεα· ῥυσσοὶ τὸ πᾶν σκῆνος ῥυτίσι τρηχέῃσι· ἀτὰρ καὶ ἐντομαὶ βαθεῖαι, ὁκοῖον αὔλακες μέλανες τῶν ῥινῶν. διὰ τοῦτο καὶ ὁ ἐλέφας τοῦ πάθεος τοὔνομα· ἰχνέων καὶ πτερνέων μέσφι τῶν μέσων τῶν δακτύλων ῥήξιες. ἢν δὲ ἐπὶ μᾶλλον αὔξῃ τὸ κακὸν, ἑλκώδεες τοῖς ὄχθοις, μήλων, γενείω,

Il. Λ v. 463.
Nocti oculos

δακτύλων, γονάτων κάκοδμα καὶ ἀναλθέα τὰ ἕλκεα. ἄλλα γὰρ ἐπ' ἄλλοισι ἐξανίσταται, ἐπ' ἄλλοισι ἄλλα πρηΰνεται. ἤδη κοτὲ καὶ τῶν μελέων προαποθνήσκει τοῦ ἀνθρώπου ἄχρι ἐκπτώσιος, ῥὶς, δάκτυλοι, πόδες, αἰδοῖα, καὶ ὅλαι χεῖρες. οὐδὲ γὰρ θανατοῖ τὸ κακὸν εἰς ἀπαλλαγὴν βίου αἰσχροῦ, καὶ ἀλγέων δεινῶν πρόσθεν, ἢ ἐς μέλεα διατμηθῆναι τὸν ἄνθρωπον· ἀλλὰ μακρόβιόν ἐστι, ὅκως ἐλέφας τὸ ζῶον. ἢν δὲ καὶ ἄλλος ὀρθῶς ἔῃ τῶν μελέων, πολλόν τι ἐπικόπτει βαρύτερον. ἄλλη καὶ ἄλλη πλανωμένων σιτίων ὄρεξις οὐκ ἀγεννὴς, ἄποιος ἡ γεῦσις, οὐδὲ τερπνὸν ἡ ἐδωδὴ καὶ ἡ πόσις· ἁπάντων δὲ ὑπὸ ἀχθηδόνος, μῖσος, ἀτροφίη, ἐπιθυμίη λυσσώδης· κόποι αὐτόματοι, μελέων ἑκάστου ἰδέη βαρεῖα, καὶ τὸν ἄνθρωπον ἀχθέει καὶ τὰ σμικρὰ μέλεα· ἀτὰρ καὶ τὸ σῶμα πρὸς ἅπαντα ἄχθεται, οὐ λουτροῖσι τέρπεται, οὐκ ἀλουσίῃ· οὐ τροφῇ, οὐκ ἀσιτίῃ· οὐ κινήσι, οὐκ ἠρεμίῃ. πᾶσι γὰρ ἐφέστηκεν ἡ νοῦσος. ὕπνος λεπτὸς, ἀγρυπνίη κακίων ἐν φαντασίῃ, δύσπνοια καρτερή· πνῖγες ὡς ἀπ' ἀγχόνης. ὧδε γοῦν τινὲς κατέστρεψαν τὸν βίον, νήγρετον ὕπνον ἐς θάνατον εὕδοντες. τοιούσδε οὖν ἐόντας τίς οὐκ ἂν φύγοι, ἢ τίς οὐκ ἂν ἐκτραπείη, κἢν υἱὸς ἢ πατὴρ ἔῃ· κἢν κασίγνητος τύχῃ· δέος καὶ ἀμφὶ μεταδόσιος τοῦ κακοῦ. πολλοὶ γοῦν ἐπ' ἐρημίης καὶ ἐς ὄρεα τοὺς φιλτάτους ἐξέθεσαν, οἱ μὲν ἐς χρόνον ἐπαρήγοντες τῷ λιμῷ· οἱ δὲ, ὡς ἥκιστα σφέας ἐθέλοντες ἐκθανεῖν. λόγος δὲ ὥς τῶν ἐπ' ἐρημίης ἀφιγμένων τις, ἐξερπύσαντα ἐκ τῆς γῆς ἔχιν ἰδὼν, ὑπ' ἀνάγκης τοῦ λιμοῦ, ἢ τῷ πάθεϊ ἀχθεσθεὶς, ὡς ἀμείψασθαι τὸ κακὸν κακῷ, ζῶντος ἐνέφαγε τοῦ ἔχιος, καὶ οὐ πρόσθεν ἐπελεύτησε, πρὶν ἢ πάντα αὐτῷ διασαπῆναι καὶ ἀποστῆναι τὰ μέλεα. ἄλλον δὲ ἰδεῖν ἔχιν εἰς πίθον γλεύκεος ἑρπύσαντα, πιόντα δὲ τοῦ γλεύκεος εἰς κόρον, ἀποβλύσαι· πολλὸν δὲ καὶ τοῦ ἰοῦ συνεκχέαι τῷ γλεύκεϊ· ἐπεὶ δὲ ἀπεπνίγη τὸ θηρίον ἐν τῷ γλεύκεϊ·

κεῖ, χανδὸν καὶ πολλὸν τοῦ γλεύκεος πιεῖν τὸν ἄνθρωπον, ἀ-
παλλαγὴν τοῦ βίου, καὶ τοῦ πάθεος διζήμενον· ὡς δὲ ἐς κό-
ρον ἧκε καὶ μέθην, ἔκειτο μὲν χαμαὶ τὰ πρῶτα, ὅκως ἀπο-
θνήσκων· ἐπεὶ δὲ ἐκ τοῦ κάρου καὶ τῆς μέθης ἐξήγερτο, πε-
ριερρύησαν μὲν τὰ πρῶτα αἱ κόμαι, ἔπι δὲ δάκτυλοί τε καὶ
ὄνυχες· ἑξῆς δὲ περιετετήκεισαν πάντα. ἐπεὶ δὲ ἔτι ἐν σπέρμα-
τι ἡ δύναμις ἦν, ἐκπροπλάσσειν αὖθις ὅκως ἐκ γενετῆς τὸν
ἄνθρωπον ἡ φύσις. ἐξέθρεψε μὲν ἄλλας κόμας, καὶ ὄνυχας
νέους, καὶ σάρκα καθαρήν, καὶ ἐξέδυ μὲν τὸ παλαιὸν ῥῆνος,
ὡς γῆρας ἑρπετοῦ· ἐπανεκλήθη δὲ ὡς ἐς φῦμα ζωῆς, ὅκως
ἄλλος ἄνθρωπος. ὧδε μὲν οὖν ὁ μῦθος, οὐ κάρτα μὲν ἀτρε-
κής, οὐ πάγχυ δὲ ἄπιστος. κακὸν γὰρ κακῷ βλαφθῆναι, πι-
στόν. τὴν φύσιν δὲ ἐπὶ τῷ ἐόντι ζωπύρῳ ἀνανεῶσαι τὸν ἄν-
θρωπον, οὐκ ἄπιστον ἐς τέρατος ἰδέην.

avide & cupiens
deffluebant coma
conlabescebant
& virum Natura tanq(uam) e(x)
... effinxit.
tanq(uam) alum ...
ex ord(ine) vita ... a malo
remanente vita scintilla.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

ὀξέων νούσων θεραπευτικὸν βιβλίον πρῶτον.

ΠΡΟΟΙΜΙΟΝ.



Ὀξέων νούσων ἄκεα ξυναφέα τῇσι ἀμφὶ σημηΐων ἰδέῃσι, ὧν τοῖς ξυγγράμμασι ἅσσα μοι πρόσθεν γεγράφαται. ὁκόσα μὲν ὦν ἐν πυρετῶν θεραπείῃ γίγνεται, κατά τε τὴν τούτων διαφορὴν, καὶ κατὰ τὴν τῶν νοσημάτων ἰδέην, καὶ τὴν ἐν αὐτοῖς ποικιλίην, τουτέων τὰ πλείω ἐν τοῖσι ἀμφὶ πυρετῶν λόγοισι λελέξεται· ὁκόσα δὲ ξὺν πυρετοῖσι ὀξέα γίγνεται πάθεα, ὁκοῖον ἡ φρενῖτις, ἢ ἄνευθε πυρετῶν, ὁκοῖον ἀποπληξίη, ἀμφὶ τῶν δὲ μοῦνον τὰ ἄκεα φράσω, ὡς μὴ διαμαρτάνειν μηδὲ μακρηγορέειν ἕτερα ἐν ἑτέροισι γράφοντα. ἀρχὴ δὲ ἡ ωὐτὴ, ἡ καὶ ἀμφὶ τῶν παθέων, καὶ τελευτὴ ἡ ωὐτή.

cum accomodato

ΘΕΡΑΠΕΙΑ ΦΡΕΝΙΤΙΚΩΝ, κεφ. α.

Κατακεκλίσθαι χρὴ τὸν νοσέοντα ἐν οἴκῳ εὐμέτρῳ, εὐκρήτῳ, χειμῶνος μὲν ἐν ἀλέῃ, θέρεος δὲ ἐν ψυχεῖ νοτερῷ· ἔαρος δὲ καὶ φθινοπώρου πρὸς τὰς ὥρας τεκμαίρεσθαι. ἔπειτα ἡσυχίην ἄγειν κελεύειν καὶ αὐτὸν τὸν νοσέοντα, καὶ τοὺς ἐπὶ τῆς οἰκίης ἅπαντας. ὀξυήκοοι γὰρ ἤδε ψόφου καθαπτόμενοι φρενιτικοί· ἀτὰρ ὑπὸ τῶνδε μαίνονται. τοῖχοι λεῖοι, ὁμαλοὶ, μηδ' ὑπερέχοντες, μηδὲ ἄγναι, μηδὲ γραφῇσι εὔκοσμοι. ἐρεθιστικὸν γὰρ τοιχογραφίη. καὶ γὰρ περὶ τῶν ὀφθαλμῶν ἀμφαιρέουσι ἵνα ψυδέα ἰνδάλματα, καὶ τὰ μὴ ἐξέχοντα ἀμφαφόωσι ὡς ὑπερέχοντα· καὶ πᾶσα πρόφασις αἰτίη, πρόκλησις χρωῶν φορῆς. κλίνης μῆκος καὶ πλάτος σύμμετρον, ὡς μήτε βλιστρίζεσθαι ἐν τῇ πλατείῃ, μήτε ἀπὸ τῆς στενῆς ἐκπίπτειν κοίτης. ἐν ψιλοῖσι τοῖσι στρώμασι, ὡς μὴ κροκυδίζειν ὑπόμνησις ἔοι· ἀτὰρ ἤδε ἐν μαλθακοῖσι. ἀστεργὴς γὰρ τοῖσι νεύροισι ἡ σκληρὴ κοίτη· οὐχ ἥκιστα δὲ τῶν ἄλλων τοῖσι φρενιτικοῖσι τὰ νεῦρα πονέει. μάλα γάρ τοι σπῶνται φρενιτικοί. εἴσοδοι τῶν φιλτάτων. μῦθοι, καὶ ἀγγελίη μὴ θυμοδακέες. πάντα γὰρ εὐθυμέεσθαι χρὴ, μάλιστα τοῖσι ἐς ὀργὴν ἢ παραφορή· κατάκλισις ἢ ἐν ζόφῳ, ἢ ἐν φωτὶ πρὸς τὸ νόσημα τεκμαρτέη. ἢν γὰρ πρὸς τὴν αὐγὴν ἀγριαίνωσι, καὶ ὁρέωσι τὰ μὴ ὄντα, καὶ τὰ μὴ ὑπεόντα φαντάζωνται, ἢ αὐτὰ ἑτέρων ἕτερα γιγνώσκωσι, ἢ ξένα ἰνδάλματα περιβάλλωνται, καὶ τὸ ξυνόλον τὴν αὐγὴν ἢ τὰ ἐν αὐγῇ δεδίττωνται, ζόφον αἱρέεσθαι χρή· ἢν δὲ μὴ, τοὐναντίον. ἀγαθὸν δὲ πρὸς αὐγὴν σωφρονέειν τε καὶ πρηΰνεσθαι τὴν παραφορίην. ἀσιτίη μὴ μακρή· σιτία δὲ ὑγρότερα καὶ βραχύτερα καὶ ξυνεχῆ. μειλίγματα γὰρ θυμοῦ σιτία. εὐκαιρίη δὲ ἐν τῇσι ἐπανέσεσι ἀμφοῖν, καὶ πυρετοῦ καὶ παραφορῆς. ἢν δὲ ὑπ' ἀσιτίης ἐκμαίνωνται, καὶ

modus Amplitudinis aëris temperati 3 Loco tepido 4 humido 5 irritantur strepitu 6 Parietes 7. [illegible] 8 [illegible] 9 imagines 10 e lecto [illegible] provocat [illegible] jactitatio 12 Stragula [illegible] 13 [illegible] floccos [illegible] tem [illegible] 14 inimica [illegible] 15 contrahuntur: non injucunda colloquia [illegible] exasperantur 16 non ads[illegible] imagin: 17 horreant obscuro loco [illegible] remittere cibi ad demulcendum:

tum pus exhib. in remissione?

Cibos dare opt. qui in Febr. minime offendunt

ἢν μὴ παρήκῃ ὁ πυρετὸς, διδόναι μὴ μεγάλα ἐπὶ πυρετὸν βλάπτοντα. ἀγαθὸν δὲ ξυμφωνέειν καὶ τὸν πυρετὸν, καὶ τὴν παραφορὴν, ἔστε τοῖς παροξυσμοῖς καὶ τᾶς ἐπανέσιας. ἢν οὖν ἥκῃ ὁ καιρὸς ἐς θρέψιν, πρόπιστα σκεπτέον εἰ χρὴ ἀφαιρέειν αἷμα. ἢν μὲν οὖν ἡ παραφορὴ ξὺν πυρετῷ ἀρχῆθεν εἰσβάλλῃ τῆς πρώτης ἢ δευτέρης ἡμέρης, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι μάλιστα τὴν μέσην: ἀτὰρ καὶ ἢν ἐς τρίτην ἢ τετάρτην ἡμέρην ἡ παραφορὴ ἥκῃ, μέσφι τῆς πρώτης τῶν κρισίμων περιόδου, τάμνειν· εἰ δὲ προσωτέρω τοῦ δέοντος χρόνου ἑκταίῳ ἐόντι ἢ ἑβδομαίῳ ἐὼν, πολλὸν πρὸ τῶν κρισίων ἐν τοῖσι ὀξέσι κενοῦν χρὴ, ἢ φαρμακεύειν, ἢ τοῖσι ἄλλοισι ἐρεθισμοῖσι χρέεσθαι. ἀτὰρ καὶ φλέβα τάμνων, μὴ πολλὸν ἀφαιρέειν, κἢν ἐν ἀρχῇ τάμνῃς. φρενῖτις γὰρ εὔτρεπτον ἐς συγκοπὴν κακόν· ἢν δὲ πολυπληθὴς ὁ νοσέων ἔῃ, καὶ νεηνίης, καὶ ἐξ ἀδδηφαγίης καὶ οἰνοφλυγίης, οἵδε οὐ τῆς φρενίτιδος ἔασι οἱ λογισμοί· ἀλλὰ καὶ αὐτοῦ παραφορῆς, πολλὸν τουτέων ἀφαιρέειν αἷμα· πολλὸν δὲ μεῖον ἀφαιρέειν, ἢν οἵδε ἔωσι οἱ φρενιτικοί· τάμνειν δὲ φλέβα τουτέων εὐτολμότερον, ἢν ἐξ ὑποχονδρίων καὶ μὴ ἀπὸ κεφαλῆς ἡ νοῦσος ᾖ. ἐνθάδε γὰρ τῆς ζωῆς ἐστὶ ἡ ἀρχή· κεφαλὴ δὲ, χῶρος μὲν αἰσθήσιος, καὶ νεύρων ἀφέσιος· αἷμα δὲ παρὰ καρδίῃ ἕλκει μᾶλλον, ἢ ἄλλοισι δίδοι. ἢν οὖν πεπόνθῃ ἥδε, οὐ χρὴ τὴν ἐπ' ἀγκῶνι τάμνειν φλέβα. τάδε γὰρ πάθεα, κενεαγγέειν ἐφ' οἷσι ἡ βλάβη οὐ σμικρή. κἢν μὲν ἡ δύναμις ἀντέχῃ εἰς τὸ ἱκανὸν τῆς κενώσιος, ἅπαξ ἀφαιρέειν, ὅκως μὴ ἐν τῇ διαστάσει τῆς ἐπαφαιρέσιος διόλλυται τῆς τροφῆς ἡ ἐγκαιρείη. ξυνεχέες γὰρ τοῖσι φρενιτικοῖσι οἱ πυρετοὶ, καὶ οὐδὲ ἐπανέσιας μακρὰς, ἀλλὰ βραχείας καὶ ἀσήμους κουφισμοὺς ποιεύμενοι. ἢν δὲ περὶ τῆς ξυμμετρίης ἀπαυδήσῃ ὁ νοσέων, ἐς δευτέρην ἐπάνεσιν ὑπερβάλλεσθαι, ἢν μὴ ἐς μακρὸν ἐκπίπτῃ· εἰ δὲ μὴ, ἀνακαλεσάμενον ὀσμήσεσι καὶ ψαύσεσι προσω-

decreverit / expedit ut concordent

Venam cubiti mediam

ad primū circuitum

Praet. tempus aliisq. remediis utendum quae irritant

non ex Ratione Phrenit.

minus si adsint phrenit.

originis

(i.e.) caput est affectum

1° Vires sustineant

& ne inter[illegible]

2da detractō per. Ocas. offi. alim.

1 defecerit

[illegible] ante satis largam sang. mis. an

(2) differenda 2da detractō 3 aliter

3 [illegible] tractationib:9

& supervenit Noxa gravis

9. mitti debeant vires ostendent.

pedum compressione

Mulsum minime praestandum

1. alica elota

2 sorbitiones

3 Satureia

apio cocto

olera, 5 Malva

6 lentor 7 beta

8 silago

9 cucurbita matura

Ptis. cremor

Qui minus alat

10. subtrahi

quo opus est

cibi vires facti- bus anim.

Avium carni- bus in humore liquefactis

11 inter coquen- dum dissolvi

12 saxatiles

aliis praestant

13 a fructibus

natura vinosa

abstinendum

που, καὶ πιέσι ποδῶν, αὐτίκα ἀφαιρέειν· γνῶμα δὲ τῆς αὐταρκίης ἡ δύναμις. Τροφὴ ὑγρὴ πᾶσι μὲν τοῖς πυρεταίνουσι· οὐχ ἥκιστα δὲ φρενιτικοῖσι. ἐπιξηρότεροι γὰρ πυρετῶν μούνων· οὐδὲ μελίκρητον, ἢν μὴ χολώδεες ἔωσι. εὔπεπτον γὰρ τοῖσι πικροχόλοισι. χόνδροι πλυτοὶ ξὺν ὕδατι ἢ μελικρήτῳ. ἀγαθὸν δὲ καὶ ἐκ τῶνδε ῥοφήματα διδόναι ἁπλᾶ, ὁποῖα θύμβρης ἢ σελίνου, ἢ ἀνήθου ἐνεψημένων· εὔπνοα γὰρ τάδε καὶ διουρητικά· σύμφορον δὲ φρενιτικοῖσι οὔρησις. λαχάνων πάντων μὲν, μάλιστα δὲ μαλάχης. ἀγαθὸν γὰρ τὸ γλίσχρασμα, τὲ ἐς λειότητα γλώσσης τε ἀρτηρίης, καὶ ἐς τὴν τῶν κοπρίων διέξοδον. ἄριστον δὲ καὶ τεῦτλον καὶ βλίτον, καὶ κορωνόπους, ἢ κολοκύνται καθ' ὥρην, καὶ ὅ,τι ἂν ἐφ' ἑκάστης ὥρης ἄριστον ᾖ. πτισάνης δὲ χυλὸς, ὑγρότατος μὲν ἐν πρώτοισι ὡς εὐπεπτότερος ἔοι· ἔστι δὲ μᾶλλον παχύτερος, ὁκόσον ἂν ἡ νοῦσος προήκοι χρόνον. ὑποστέλλεσθαι δὲ ἐν τῇσι κρίσεσι, καὶ μικρόν τι πρὸ τῶν κρισίων. ἢν δὲ ἐς μῆκος ἡ νοῦσος ἴῃ, μὴ ἀφαιρέειν τῶν προσθεσίων· ἀλλὰ σιτώδεα διδόναι, ὡς ἐξαρκέσῃ ὁ νοσέων· οὔτε καὶ κρεῶν ἀκρέων, καὶ πετεινῶν χρέος τὰ πολλὰ τοῖσι χυλοῖσι ἐκτηκομένων. κάρτα γὰρ χρὴ τάδε ἐν τῇ ἑψήσει λύεσθαι· ἰχθύων οἱ πετραῖοι τῶν ἄλλων εἰς κρέσσον ἔστων· ἐπὶ πᾶσιν δὲ τοῖς ἐν τῇ χώρᾳ ἀρίστοις αἱρετέον. ἄλλη γὰρ ἄλλας φέρειν ἰχθύων ἰδέας πεπίστευται χώρη. ὀπώρας οἰνώδεος ὑποστέλλεσθαι. κεφαλῆς γὰρ καὶ φρενῶν ἅψιν ποιέει. ἢν δὲ ἀνάγκη ἐπὶ τῆς δυνάμιος ἢ τοῦ στομάχου βιαζομένων, ἑφθὰ ἐν μελικρήτῳ, ἢ ὀπτὰ ἐν στέατι, ὁκοῖον μῆλα δοτέον. τῶν ἄλλων θερμῷ ὕδατι ἕκαστον ἐκλύειν, ἢν ἐς μούνην τὴν τοῦ στομάχου παραμυθίην διδῷς· ἢν δὲ καὶ ἐς δύναμιν δέῃ, μὴ κάρτα τὸ οἰνῶδες ἐκλύειν. Τροφὴ μὲν ὧν ὡς ἔπος εἰπεῖν, τοιήδε· τέγγειν δὲ τὴν κεφαλὴν ἐς ἔμψυξιν λίπαϊ ἐλαίης ὄμφακος τετριμμένης. ἀλεαίνεσθαι γὰρ ἡ κεφαλὴ οὐ φιλέει φρενιτικοῖσι· ἢν δὲ καὶ ἀλγ-

14. inflam[mationem] 15 elixa in mulso vel tosta in adipe 16 pomis similia

17. ad confirmandum stomachum ut refrigeretur caput contritae olivae immaturae oleo perfundendum

πίη καὶ φαντασίη ἔωσι, ῥοδίνου μίσγειν ἶσον ἴσῳ τὰ πρῶτα· ἔπειτα δὲ μᾶλλον τὸ ῥόδινον ἔστω πλέον ἐς ψύξιν καὶ ἔμψυξιν τῆς κεφαλῆς. ἢν δὲ καὶ τὴν γνώμην παρακινέωνται, καὶ τὴν φθέγξιν ἐξαλλάσσωνται, ἑρπύλου κόμης ἐνεψητέον ἐν τοῖσι ἐλαίοισι, ἢ κισσοῦ χυλὸν ἢ πλυντῆρα παραχυτέον. ἢν δ' ἐπὶ μᾶλλον ἡ παραφορὴ ἐξάπτηται, καὶ πευκέδανον καὶ σφονδύλιον τοῖσι ἐλαίοισι ἐνεψεῖν, καὶ ὄξος παραχεῖν. ἀτμῶν γὰρ τάδε καὶ θέρμης διαπνευστικά, καὶ παχέων χυμῶν διαλυτικά, ἃ τῆς παραφορῆς ξυναίτια. πεφυλάχθαι δὲ χρὴ τάδε, ὡς μὴ ἐς τὸν αὐχένα καὶ τοὺς τένοντας ἡ τέγξις ἵκῃ. πολέμιη γὰρ τένουσι καὶ νεύροισι. καιρὸς δὲ πάσης τέγξιος, πλὴν τῆς ἐσβολῆς τοῦ παροξυσμοῦ· ὡραιοτέρη δὲ ἐν τῇ ἀναβάσι· πάντων δὲ μάλιστα ἐν ἀκμῇ. ἢν δ' αὖ ἐκμαίνωνται, τῇδε μάλιστα τέγγειν ψυχρῷ, καὶ ψυχρῷ μὲν ἐπὶ μᾶλλον θέρεος ὥρῃ· χειμῶνος δὲ χλιαρῷ· εἰς δὲ τὸ πρηΰνειν τὴν παραφορὴν, ὀξυκρήτῳ, ἢ κονύζης ἑψήματι καὶ σπογγίῃ τὰ πρόσωπα πυελοῦν, ἔπειτα χρίειν οἰνανθίνῳ ἢ κροκίνῳ λίπαϊ, καὶ τὰς ῥῖνας καὶ τὰ ὦτα· τοῖσι δὲ διαχρίειν. τάδε μέντοι καὶ ὕπνου ἀγωγά. ἢν γὰρ πάννυχοι μὲν ἐγρήσσωσι, μηδὲ δι' ἡμέρης εὕδωσι, ἀτενέες δὲ τὸ ξύμπαν ἔωσι, ὀφθαλμοὶ δὲ ὁκοῖόν τι κέρας ἑστήκωσι, βλεφαρίζωνται δὲ καὶ ἐξανιστῶνται, ὕπνον αὐτέοισι καὶ ἠρεμίην μηχανέεσθαι. πρόσθεν μὲν διὰ τῶν τῆς κεφαλῆς τεγξίων, ῥοδίνου ἀκρήτου, ἢ ἀμαρακίνου, ξὺν χυλῷ κισσοῦ, ἢ ἑρπύλου, ἢ καὶ μελιλώτου ἐναφεψήματι· ἐπὶ μᾶλλον δὲ ὑπνωτικὸν, μήκων ἀφεψηθεῖσα ἐν λείπασι, ἐς τε τὸ τῆς κεφαλῆς βρέγμα, ἢ ὕδατι ἐς τὸ πρόσωπον ξὺν σπογγίῃ· ὑποτιθέναι δὲ χρὴ καὶ αὐτὰς ὅλας, εἰ εἶεν νεόδρεπτοι, χλωρὰς τοῖσι ὑποκεφαλαίοισι. παχέως γὰρ καὶ ὑγραίνει τὸ πνεῦμα, ξηρὸν τε καὶ λεπτὸν ἐὸν, καὶ ὁμίχλην τῇσι αἰσθήσεσι παρέχον· βαρὺ δὲ ἡ νωθὴς ὁμίχλη, ἡ δὲ ὕπνου ἀρχή. ἢν δὲ μεζόνων δέωνται, καὶ αὐτὸ τὸ

parcam Port. pag. 205. Oleo misce

turbato mente con- Vocem alienatam serpylli coma incognita hedera suc- cum Caloris d'efflat dispellendi apta a perfusio spiritus in incremento aqua frig. vel re- frigerata tepefacta hae. Jovenda inungend. Ung. oenan- thino 1. instar cornu rigeant jactitant electo sin- gant molliri 4 decoctis 5 papaver

in Oleo elixum, herbas integras papaveris (recentes modo decerptae) viri- des capiti debet subjicere

6 nebulam offundit

ipsa papaveris lachryma fronti c[um] aqua illinit nari[bus] [illegible] lus inung[it]

Auribus in- fundi Pedes c[um] Ol[eo] molli- ter contrectantur demulc[ere] caput prod[est] temp[or]a scalpere 2. in cymba 3. littorum 4. tibiarum Usus cithara lyra cantus 5. exercit. Pueri canent[ium] 6. [illegible] 7. Perfus[illegible] Cataplasm[a] Olivae maturae min[ime] acerbae Ol[eum] injic[illegible] 9 [illegible] 10. [illegible] commodum 11. [illegible]

μηκώνιον ἐς τὰ μέτωπα ξὺν ὕδατι χρίειν· ἠδὲ ὑπαλείφειν τὰς ῥῖνας, καὶ ἐς τὰ ὦτα ἐγχέειν. ψηλαφίη ποδῶν εὐαφὴς ξὺν λίπαϊ, ψαῦσις τῆς κεφαλῆς· εὔυπνον δὲ καὶ κνῆσις μάλιστα κροτάφων τε καὶ ὤτων. καὶ γὰρ καὶ τὰ θηρία ἐς ἀνάπαυλαν ὀργῆς τε καὶ θυμοῦ κνήσι ὤτων τε καὶ κροτάφων δαμνόνται. ὕπνου δὲ ἀγωγὰ ἑκάστου καὶ τὰ ξυνήθεα· ναυτίλῳ μὲν ἡ ἐν ἀκάτῳ κατάκλισις, καὶ ἐν θαλάσσῃ περιφορὴ, καὶ αἰγιαλῶν ἦχος καὶ κυμάτων κλύπος, ἀνέμων τε βόμβος, καὶ θαλάσσης καὶ νηὸς ὀδμή· μουσικῷ δὲ ἐπὶ ἐθισμὸς αὐλῶν ἐφ' ἡσυχίῃ, ἢ ψαλμὸς λύρης, ἢ πυκλίδος, ἢ μελέτη παίδων ξὺν ᾠδῇ· διδασκάλων δὲ ὑπάρχων μύθων προσομιλίη. ἄλλοισι δ' ἄλλα ὕπνου θελκτήρια. τοῖσι δὲ ὑποχονδρίοισι καὶ τῇ κοιλίῃ ἐμβρέγματα, καὶ ἐπιπλάσματα, ἢν φλεγμονὴ καὶ σκληρίη ἐπαίρηται, καὶ φῦσα, ἔλαιον δρυπεπέος ἐλαίης μὴ ὠμῆς ἐμβάλλειν. παχὺ γὰρ καὶ γλίσχρον τὸ ἀλεαῖνον. τόδε ὧν χέος ἐν φλεγμασίῃ. ἐνεψέσθω δὲ ἐν αὐτῷ ἄνηθον, κόνυζα· ἀγαθὸν γὰρ ὁμοῦ τὰ πάντα· ἢν γὰρ καὶ φῦσα ἐνῇ, κυμίνου καὶ σελίνου τῶν καρπῶν, ἠδὲ ὁκόσα οὔρων καὶ φυσέων ἀγωγά· καὶ νίτρον ἐνσείσαντα ἐμπάσσειν. ἢν δὲ τὸ ἧπαρ τὴν πίεσιν ἢ τὴν ὀδύνην ἴσχῃ, θερμὰ μὲν ἔστω οἰσύπῳ πιναρὰ ἀπὸ τῆς οἰός· ἔλαιον δὲ τὸ ἀπὸ τῆς ὄμφακος, ἢ ῥόδινον· μίσγειν δὲ χρὴ σίραιον ἑλληνικὸν, ἢ κρῆτα, καὶ ἐνεψῆν μήλωτον, μίξαντά τε ἐς ἕνα χυλὸν τὰ πάντα καταιονέειν τὸ ἧπαρ· ἁπλῶς δὲ τὸ ἔλαιον ξὺν ὄξει ἔστω, ἢ εἰ μέζον ἢ πρὶν δονέει, ὀξύκρητον, καὶ αὐτῇ ἐρίων σπογγίῃ ἁπαλῇ· μάλα γὰρ τοῖσδε ὁ σπλὴν χαίρει τε καὶ πρηΰνεται. ἢν δὲ τὰ ὑποχόνδρια εἴσω ᾖ, ἠδὲ ἄνω εἰρύηται, καὶ τὸ δέρμα περιτείνηται, ἄλειφον μὲν αὐτῇ τῷ λίπαος, ἢ ξὺν αὐτέῳ παχὺ ἐπικαίριον ἴσον· κόνυζα δὲ ἔσω καὶ λιβανωτὶς τὰ ἐνεψήματα, καὶ ἄνηθον οὐκ ἀτερπές· ἢν δὲ ἐπιπλάσσειν εὐκαιρίη ᾖ, τοῖσι μὲν ἐλαίοισι τοῖσι αὐτέοισι χέεσθαι, ἐπὶ τοῖσι ὁμοίοισι·

12 nitrum cribro transmissum inspergito 13 compress[io] 14. lanas a sudore recens tonsas accipito ab ovo 15. papam[illegible] 16 [illegible] in- cocto melil. 17 persund[illegible] 18 mollis 19 loco olei aut [illegible] paribus port. butyri 20. ros marinus

ὕλη δὲ λίνου σπέρμα, καὶ τῆλις, καὶ ἄλητον κριθῆς λεπτόν. ἀγαθὸν δὲ καὶ κύαμος, καὶ ὄροβος, ἢν ἐξοιδαίνῃ ἡ γαστήρ· κέγχρος ἢ φωχθεῖσα ἐν μαρσύποισι, πυρίημα κοῦφον καὶ μαλθακόν· ἀληλεσμένη δὲ καὶ ὑδερώδεσι ξὺν μέλιτι καὶ ἐλαίῳ καὶ λίνου σπέρματι, ἐπίπλασμα ἀγαθόν· αὗται δὲ καὶ βοτάναι καὶ σπέρματα ὅσα μοι ἐν τοῖσι ἐμβρέγμασι λέλεκται, καὶ ἐν τοῖσι ἐπιπλάσμασι ἔστω τὰ ἑωυτά· μέλι δὲ καὶ ξὺν αὐτέοισι μὲν ἀγαθὸν ἐς σύστασιν τῶν ξηρῶν, καὶ ἐς μίξιν τῶν αὐχμηρῶν, καὶ ὡς ἡ θέρμη ἐς πολλὸν διαρκέῃ· ἀγαθὸν δὲ καὶ αὐτὸ μετ' οἴνου, καὶ ἐπίπλασμα ἡμίεφθον, καὶ ἔμβρεγμα ξύν τινι τῶν ὑγρῶν λυθὲν, μαλθάξαι, ἀλεῖψαι, φυσέων καὶ οὔρων ἀγωγὸν, πρηῢναι πρίσιας. τάδε γὰρ καὶ μελίκρητον ποιέει ποθὲν, καὶ τουτέων πλέονα καὶ κρέσσονα, εἴσω παρελθὸν ἀρτηρίῃ καὶ πνεύμονι, καὶ θώρηκι καὶ κοιλίῃ. ξυνεχέως δὲ τὴν κοιλίην ἐρεθίζειν βαλάνοισι ἢ διαχρίστοισι. ἐπιξηραίνονται γὰρ πολλὰ, ἔς τε τὴν ὁλκὴν τῶν ἀπὸ τῆς κεφαλῆς· ἀτὰρ ἤδε ἐς διαπνοὴν τῶν ἐν τῷ θώρηκι ἀτμῶν, καὶ ἐς κρίσιν τῶν ἐν τῇ κοιλίῃ. ἢν δὲ καὶ πολλῶν ἡμερῶν ἡ γαστὴρ ἐπέχηται, κλύζειν χρὴ μελικρήτῳ, καὶ ἐλαίῳ, καὶ νίτρῳ· ἢν δὲ μὴ ἀξίως ὑποκαταστῶσι αἱ τῆς φλεγμονῆς πρηδόνες, σικύην θέντα, ἐνταμνειν, ἔνθα ἂν ἡ φλεγμονὴ κραίνῃ καὶ μέζων ἔῃ· μίην δὲ ἢ δευτέρην, ὅκως ἂν τάτε φλεγμαίνοντα σημαίνῃ, καὶ ἡ δύναμις κελεύῃ, ἀτὰρ καὶ τὸ πλῆθος τοῦ αἵματος· τοῖσι δὲ τεκμαρτέον. ἀμετρίη γὰρ συγκοπῆς αἰτίη. ἐς μὲν οὖν ἡμέρην μίην ἢ δευτέρην, τέγξις ἡ ἑωυτὴ, ἐς δὲ τὴν τρίτην κηρωτὴ ξὺν τινὶ λίπαϊ τῶν ἐμβρεγμάτων. ἔπειτα ἐπιθήματα, ἐν φλεγμασίῃ μὲν ἢν ἐπέωσι, ὕσσωπος, τῆλις ἑφθὴ ἐν μελικρήτῳ, τερμίνθου τοῦ φυτοῦ ῥητίνη, κηρός· τὰ δὲ ἔλαια ἐπὶ τοῖσι αὐτέοισι τὰ ἑωυτά. ἢν δὲ μὴ τουτέοισι ἐπανίῃ μηδὲν ἡ περιφορὴ, κουρὴ τῆς κεφαλῆς χρέος, ἢν μὴ μήκισται εἶεν αἱ κόμαι, τὰ προσόπισα ἐς ἥμισυ· εἰ δὲ βραχύ-

c caput tondeto

-inth.a

cf lini.1. fano grec. 4 pord. farina tip. Sabe et ervum 2 mill.[illegible] refect. & saccellis indita 3 fomentum [illegible] 4 [illegible] 5. semicoctum inflam: mitigat 7 [illegible] efficit [illegible] nibus [illegible] non [illegible] [illegible] c. Ceratum [illegible] in [illegible] e [illegible] to [illegible] incocto [illegible] [illegible] tereb. cera

τέρᾳ, ἐν χρῷ· ἔπειτα μεσηγὺ ἀναλαβόντα τὴν δύναμιν, συκίην κατὰ τῆς κορυφῆς προσβάλλειν, ἠδὲ ἀφαιρέειν αἷμα· κούφη δὲ προτέρη ἐς τὰ μετάφρενα κεκολλήσθω. ἐπεὶ δὲ καὶ θώρηκα ἐν πάσῃσι τῇσι ὀξέῃσι νούσοισι ἀκέεσθαι χρὴ, πάντη τὸν κάμνοντα ξὺν καρδίῃ καὶ πνεύμονι, πρόσωπα μὲν ὑπ' ἀνάγκης τῆς ἀναπνοῆς, ἄλλοτε μὲν θερμῆς, ἄλλοτε δὲ ψυχρῆς· ἔτι δὲ ὑπὸ πυρετοῦ καυσώδεος καὶ βηχὸς, καὶ ὑγρῶν πονηρίης, καὶ νεύρων κοινωνίης, καὶ στομάχου συμφορῆς, ὑπεζωκότος τε καὶ διαφράγματος κακίης· καρδίη γὰρ ἢν πάθῃ μέζον τι, ἀγριὸν οὔποτε ἀκέεται. ἐπὶ δὲ τοῖσι φρενιτικοῖσι καὶ μάλα χρὴ τάδε μειλίσσειν. διαφορὴ μὲν γὰρ μετεξετέροισι ἐκ τινὸς τῶν ἐν τῷ θώρηκι· ἀναπνοὴ θερμή τε καὶ ξηρὴ, δίψος δριμὺ, ἐκ δύσφορον πῦρ, τῇ πάντη ἐς θώρηκα ξυῤῥέειν. καὶ κακίη μὲν, ἀπὸ τοῦ οἰκείου θάλπεος τετραμμένου· μέζων τε καὶ δυσφορωτέρη ἡ ἀπὸ τῶν ἄλλων ἐς θώρηκα ξυνόδοισι. ἄκρα γὰρ ψυχρὰ, κεφαλὴ, πόδες τε καὶ χεῖρες· ὕπερθεν δὲ τῶνδε ὁ θώρηξ· καὶ δέεται τῶν ἀρήγειν ὑγρασίῃ καὶ ψύξι. τέγξις μὲν ὦν ἔλαιον ξὺν χαμαιμήλῳ ἑψηθὲν, ἢ νάρδῳ· θέρεος δὲ καὶ σίραιος ἑλληνικός. ἢν δὲ καὶ ἐπιθέτοισι δέῃ χρέεσθαι, φοίνικες ἐν οἴνῳ αὐστηρῷ δευθέντες· ἔπειτα λεῖοι ἐς μάζαν τετριμμένοι, ξὺν νάρδῳ, ἀλφίτοισι, οἰνάνθῃ, προσηνὲς θώρηκι ἐπίπλασμα· ψυκτικὸν δὲ καὶ μῆλα θλασθέντα ξὺν μαστίχῃ καὶ μελιλώτῳ. πάντα δὲ κηρῷ καὶ νάρδῳ ἀναλαμβάνειν· ἢν δὲ καὶ τὸν στόμαχον ἔχῃ νάρκη, καὶ ἀποσιτίη, ἀψινθίου χυλὸν ἢ κόμην τοῖσι δὲ ξυλλεαίνειν· καὶ τῷδε ἑψηθέντι ξὺν λίπαϊ καταιονεῖν τὸ ὑποχόνδριον. πιπίσκειν δὲ καὶ τὸ ἀπόβρεγμα, ἢ χυλὸν αὐτέου περὶ τῆς τροφῆς, ὁκόσον κυάθους δύο τοῦ ἀποβρέγματος, ἢ κύαθον πικροῦ τοῦ χυλοῦ ξὺν ὕδατος κυάθοις δύο. ἢν δὲ καὶ καῦσος ἔχῃ τὸν στόμαχον, οὐκ ἀπὸ τῆς καταστάσεως τῆς νούσου, ἀλλ' αὐτοῦ μούνου ἀπὸ χυμῶν δριμέων καὶ ἁλμυρῶν, ἢ ὑπὸ χολῆς δακνομένου, καὶ δίψα

ad Cutim
2 ad Verticem
3 dorso prius affigatur
4 mederi
humorum depravatione
5 noxia
6 hoc relevari debent
7 in quos undiq. confluit
8 Calore nativo perverso
9 translatio
10 concurrerent
11 sapa Gr.
12 palmulae in vino & levigatae & ad placentam contritae
13 farinae
cataplasma gratum
15 contusa mala c
16 contrito

17 Infusio potui offeratur id sed ab humoribus acrib. et salsis

hemina 1/2 sext: i.e. lb 3/4.

arescente siti

ἀναιρομένου, ὑδρομιγὲς γάλα δοτέον ἐν τροφῇ, ὅσον ἡμικοτύλιον τοῦ γάλακτος ἐν ὕδατος κυάθῳ ἑνί· ῥυμφαίνειν δὲ αὐτέου τὸ πλεῖστον· βραχὺ δέ τι καὶ σὺν ἄρτῳ ἀναλίσκειν. ἢν δὲ καὶ καῦσος ἔχῃ τὸν ἄνθρωπον, καὶ δίψος καὶ ἀπορίη, καὶ μανίη, καὶ ἐπιθυμίη ψυχροῦ ὕδατος, διδόναι, μεῖον μὲν ἢ ὁκόσον ἐν καύσου νούσῳ αὐτοῦ φρενίτιδος. τῶν δὲ γὰρ ἀμφὶ τῶν νεύρων ὀῤῥωδέειν χρή. διδόναι ὦν ὁκόσον ἐς στομάχου ἄκος· ὀλίγον δὲ ἀπαρκέει. βραχυπόται γὰρ οἱ φρενιτικοί. ἢν δὲ καὶ ἐς συγκοπὴν ῥέπωσι· γίγνεται γὰρ καὶ τόδε· τῆς μὲν γὰρ δυνάμιος λυομένης, ἱδρῶτι δὲ χεομένου τοῦ αὐτοῦ, πάντων δὲ εἰς τὸ ἐκτὸς τὴν φορὴν ποιευμένων τῶν ὑγρῶν, καὶ τοῦ τόνου λυομένου, καὶ τοῦ πνεύματος, ἔστε ἀκηδίη μὲν τῆς παραφορῆς, δέος δὲ εἰς ἀτμὸν λυθῆναι καὶ ὑγρασίην τὸν ἄνθρωπον· ἄλκαρ μοῦνον ἐπὶ οἶνος, θρέψαι μὲν ὠκέως κατ᾽ οὐσίην, καὶ ταύτῃ μέχρι περάτων μολεῖν· τόνῳ δὲ παραθεῖναι τόνον, καὶ πνεῦμα ναρκωμένον ἐγεῖραι, ψύξιν ἀλεῆναι, σύψαι πλάδον, φερομένων ἔξω καὶ ῥεόντων κρατῆσαι, ἡδὺς μὲν ὀσφραίνεσθαι ἐς ἡδονήν· κραταιὸς δὲ στηρίξαι δύναμιν ἐς ζωήν· ἄρειος δὲ μειλίξαι θυμὸν ἐν παραφορῇ. τάδε μέντοι ποιεῖς ἅμα πάντα πρήσει. θυμόντες γὰρ πρηΰνονται μαλθάξει φρενῶν, καὶ ἐξ ἐωυτέων ἐς δύναμιν τρέφονται· ἀτὰρ ἠδὲ ἐωυτέοισι ἐμπνέουσι ἐς ἡδονήν, πρόσω μὲν ἤδη πολλὸν ἥκει χρόνον. ὅταν δὲ ὁ πυρετὸς νωθὴς ἔῃ, ἀτὰρ ἠδὲ ἡ παραφορὴ ἐς μώρωσιν τρέπηται· τὸ δὲ ὑποχόνδριον μὴ πολλόν τι προσβλάπτηται, ἢ ὄγκῳ, φύσῃσι, σκληρίῃ, κεφαλὴ δὲ τὸ πλέον ἔχῃ τῆς αἰτίης, χρὴ ἐλμέοντα λούειν, ἠδὲ καταιονεῖν πολλόν τι τὴν κεφαλήν. ἥ τε γὰρ ἕξις ὑγιανθήσεται, καὶ ἡ κεφαλὴ διαπνευσθήσεται, καὶ τὸ ξύμπαν σκῆνος διηλμίαθη. ὧδε γὰρ τὸ μὲν ξηρὸν ἀμβλύνεται, καὶ καθαρεύεται τῆς ὀμίχλης ἡ αἴσθησις· ἡ δὲ γνώμη εὐσταθὴς ἠδὲ ἔμπεδος μίμνει. τάδε μέντοι τῆς λύσιος τῆς νούσου γνώματα.

circiter hemin: hemina 2 sorbend

minorem copia q. timendu

detur. q. 1. ad recreand. stom.

non jam delirii hab. [illegible]

1 7 subsid q. in substantia. reficit alit & ad extr. usq. ubiq. per meat 2 3 hum ridum. comprimit

3. odore gra. = ut 4 mitigare mentem in furore.

5 prostat 6. audacte lavare 7 habitus ad sanitatem vertit

perspiratio fiet in cap. & exhalatio in corp. univ. hoc modo sicc. retundetur nebulaq offusa sensus purg. mensq stabilis

ω indicia.

ΘΕΡΑΠΕΙΑ ΛΗΘΑΡΓΙΚΩΝ,

κεφ. β.

Ληθαργικοῖσι κατάκλισις ἐν φωτὶ καὶ πρὸς αὐγήν· ζόφος γὰρ ἡ νοῦσος· ἡδὲ ἐν ἀλέῃ μᾶλλον· ψῦξις γὰρ ἔμφυτος ἡ αἰτίη· κοίτη εὐαφής, χρώματα, τοιχογραφίη, ποικίλα πάντα, ὁκόσα περ ἐρεθιστικὰ ὄψιος, λογίη, ψηλαφίη ξὺν τῇσι ποδῶν, ἁλμοὶ, κνησμοὶ ἢν βαθὺ κῶμα ἴσχῃ, ἐμβόησις, νουθεσίη ὀργίλη, δεῖμα ἐφ' οἷσι δειμαίνει. προσαγγελίη τῶν ὁκόσα ἐπόθεε καὶ προσεδόκεε. πάντα ἐς ἐγρήγορσιν, ἐναντίως τοῖσι φρενιτικοῖσι. ἀμφὶ δὲ καὶ κενώσιος ληθαργικῶν, τάδε χρὴ γινώσκειν· ἢν μὲν ἐξ ἑτέρης νούσου, ὁκοῖόν τι φρενίτιδος διαδέξηται ἡ λήθη, φλέβα μὲν μὴ τάμνειν, μηδὲ ἀθρόον ποθὲν κενοῦν αἷμα. ὑποκλύζειν δὲ τὴν κοιλίην, μὴ τοῦ κοπρώδεος εἵνεκε μοῦνον, ἀλλ' ὅκως τι καὶ ἄνωθεν ἀντισπασθῇ, καὶ ἀπὸ τῆς κεφαλῆς ὀχετευθῇ· πλέον οὖν ἔσω ἄγειν τε καὶ νίτρου. ἄριστον δὲ τῷ κλύσματι, εἰ καστόριον ἐμπάσσοις· ψυχρὸν γὰρ τὸ κάτω ἔντερον ληθαργικοῖσι, καὶ πρὸς ἔκκρισιν νεκρῶδες. ἢν δὲ μὴ ἐκ διαδέξιος νούσου, ἀλλ' ἑωυτέου ἄρχηται ὁ λήθαργος, καὶ δοκέῃ πεπλῆσθαι ὁ νοσέων, ἢν μὲν αἵματος, φλέβα τὴν ἔσω ἀγκῶνι τάμνειν· ἢν δὲ φλέγματος ὑδατώδεος, εἴτε ἄλλων χυμῶν, καθαίρειν χρὴ κνεώρῳ σὺν τῇ πτισάνῃ, ἢ ἐλλεβόρῳ μίγδην ξὺν μελικρήτῳ, πρὸς τῇσι ἀρχῇσι, ἢν μετρίως βούλῃ· ἢν δὲ μεζόνως, τοῦ φαρμάκου τῆς ἱερῆς καλευμένης νῆστι διδόναι ὁλκῆς < β. ξὺν μελικρήτου κυάθοις τρισί, καὶ περιμείναντα καθαίρεσθαι· τότε διδόναι σιτία, ἢν καιρὸς ᾖ· ἢν δὲ μή, ἐς τὴν ἐπιοῦσαν ἡμέρην ἡ τροφή· εὐκαιρείη δέ κοτε καὶ ἐν ἑσπέρῃ γίγνεται τῆς ἱερῆς ὁλκῆς < α. ὕδατι, ἢ μελικρήτῳ λυομένη κυάθοις δύο. ἀτροφίη κακόν, κακὸν δὲ καὶ πολυτροφίη. χρὴ ὦν ὀλιγοσιτίῃ χρέεσθαι ἐς ἑκάστην ἡμέρην. ἀθρόον

δὲ μὴ

caligo quod. in loco tepido mollis visum irritantia contrectatio semper pedum vellicatio vocif. iracunda metu pandus quae timere consuevit iis exterendus 2 succedat lethargus 3 derivatione revulsione 4 insit multum. 5 inspergas 6 ʒij. 7 tantisper expectans quoad confecta purg. ʒj. a vesp.

δὲ μὴ ἀσιτεῖν. ὑπομνήσιός τε γὰρ ἠδ' ἀλέης τῷ στομάχῳ χρέος ἀνὰ πᾶσαν τὴν ἡμέρην. ἀτὰρ καὶ ἡ τροφὴ ἔστω λεπτύνουσα, καὶ διαχωρητικὴ ἐν ζωμοῖσι μᾶλλον ἢ ὀσπρείοισι, ἀλεκοειδεῖ, κεγχροειδεῖ· λινοζώστῳ δὲ ξυνεψήσθω, καὶ ὄξος παραχεέσθω, καὶ τοῖσι δὲ χυλοῖσι ἐμβάλλειν, εἴ ποι δέοι χυλῷ χρέεσθαι πτισάνης, εὔπνοον ἠδὲ οὔρων ἀγωγὸν, μάραθρον, σέλινον, τὰ λάχανα, ἢ τούτων τοὺς καρπούς. ἀγαθὸν δὲ καὶ πράσον τῇ δριμύτητι, καὶ κράμβη ξὺν ἐλαίῳ καὶ γάρῳ. ἄριστον δὲ καὶ κύμινον γλυκὺ ξὺν κράμβῃ φυσέων ἠδὲ οὔρων. ἐρεθιστικὸν γὰρ ἡ κύστις, ἠδὲ γαστὴρ ἐν πάσῃ τῇ νούσῳ. τέγξιες τῆς κεφαλῆς, αἵπερ καὶ τοῖσι φρενιτικοῖσι. ἀμφοῖν γὰρ αἱ αἰσθήσιες πλέαι γίγνονται ἀτμῶν, ἃς ἀπελαύνειν χρὴ ψύξει καὶ στύψει, ῥοδίνου καὶ κισσοῦ χυλῷ. ἢ ἐξατμίζειν ἐς διαπνοιὴν τοῖσι λεπτύνουσι, οἷον ἑρπύλλῳ, ὄξεϊ σὺν τῷ ῥοδίνῳ. ἢν δὲ νεύρων πόνος ἔῃ καὶ ψύξις ὅλου, πολλῷ δὲ μᾶλλον ἀκρέων, τῷ καστορίῳ ξὺν ἀνηθίνῳ λιπαίνειν, ἠδὲ τέγγειν τὴν κεφαλὴν καὶ τὸν αὐχένα, καὶ τὴν ῥάχιν χρίειν τῷ αὐτῷ ξὺν λίπαϊ σικυωνίῳ, ἢ γλευκίνῳ, ἢ παλαιῷ· ξυγχρίειν δὲ καὶ τὼ χεῖρε ἀπὸ τῶν ὤμων, καὶ τὼ πόδε ἀπὸ τῶν βουβώνων. τοῖσι δὲ μέντοι καὶ τὴν κύστιν καταιονεῖν, καὶ ὡς νεῦρον πάσχουσαν, καὶ ὡς οὔρων ὁδὸν κάμνουσαν· ἀτὰρ καὶ τῇ δριμύτητι τῶν χυμῶν ἀχθομένην. χολώδεα γὰρ τὰ οὖρα. ἢν δὲ μέζων ὁ τρόμος ἔῃ, καὶ κίνδυνος σπασμοῦ, καὶ σικυωνίῳ εἰς τὴν κεφαλὴν ὑπ' ἀνάγκης χρέεσθαι· ὀλίγη δὲ ἔστω ἡ χρῆσις. ἢν δὲ καὶ φλεγμασίαι τῶν ὑποχονδρίων ἔωσι, καὶ πρήσιες καὶ φῦσαι, καὶ περιτάσιες τοῦ δέρματος, ἢ κοῖλον γίγνηται εἴσω εἰρυομένου τοῦ ὑποχονδρίου, ἐμβρέγματα καὶ ἐπιπλάσματα, ὁκόσα μοι ἐν φρενιτικοῖσι λέλεκται. σικύῃ ἥκιστα χρέεσθαι, ἢν ἀπὸ φρενίτιδος ἔωσι. εὐτολμότερον δὲ, ἢν ἀρχῆθεν ἡ νοῦσος εἰσβάλλῃ. ἢν δὲ γλῶσσα μελαίνηται, καὶ ὄγκος ἐν τοῖσι ὑποχονδρίοισι σημαίνῃ, ὑπ' ἀνάγκης τῇ σικύῃ χρέεσθαι.

ἐπὴν δὲ πρὸς τῷ μήκεϊ τοῦ χρόνου κενωθήσονται τῇσι αἰσθή-
σεσι, τἄλλα δὲ εὐπετέστερον φέρῃ, τῇ κορυφῇ τῆς κεφαλῆς προσ-
βάλλειν· ἄλυπον γὰρ τῇ δυνάμει τὸ ἐντεῦθεν κενοῦν· ἄγει τε
καὶ φύσας ἄνω τε καὶ κάτω. φυσέων γὰρ ξυναγωγὸν λήθαρ-
γος, καὶ ἐν τῇσι κοιλίῃσι, καὶ ἐν τῷ ὅλῳ σκήνεϊ ἀργίη, καὶ νωθίη, καὶ
ἀψυχίη· διαπνευστικὸν δὲ κίνησις, ἡ δὲ ἐγρήγορσις. διαχέειν
οὖν πήγανον χλωρὸν τρίβοντα ξὺν μέλιτι καὶ νίτρῳ· ἀγωγὸν
τε ἐστὶ μᾶλλον φυσέων ξὺν τέοισι, καὶ τερμίνθου ῥητίνης μέ-
ρος ἕν· καὶ πυρίη προσκλητικὴ φυσέων· ἢ πιναροῖσι θερμοῖσι
ἐρίοις, ῥήχεσι παλαιοῖς ἐάκεσι, ἢ σπογγίῃ ξὺν ὕδατι, ἔνθ'
ὕσσωπον, ἢ ὀρίγανον, ἢ γλήχων, ἢ ῥυτὴ ἕψηται· ἄγει δὲ αὖ φύ-
σας, ἡ δὲ ὁκόσα περὶ τῶν σιτίων πίνεται, τὰ γὰρ καὶ φλέγμα καὶ
χολὴν ἐν τοῖσι ἐντέροισι καὶ στομάχῳ ἄγει, ὕσσωπον ἐν μελικρήτῳ
ἑψηθὲν, δίκταμον τὸ κρητικὸν, ὀρίγανον· δριμέα μὲν, ἀγω-
γὰ δὲ, ἀδίαντον, ἄγρωστις· τάδε μέντοι καὶ φυσέων καὶ οὔρων
καταρρηκτικά· ἢν δὲ θυμὸς χλωρῶν καὶ κεφαλῆς ἔῃ, καστόρειον
πιπίσκειν δραχμῆς ὁλκῆς ἥμισυ, ξὺν μελικρήτῳ κυάθοις
τρισὶ ἐς ἡμέρας πλεῦνας· ἢν δὲ μὴ πίνῃ τόδε, ἔκπευξιν ξυμ-
φορῆς ξὺν ἐλαίῳ, ἔνθα πήγανον ἐνεζέσθη κυάθοις τρισὶ, τὸ
διπλόον ἐς τὸ κάτω ἔντερον ἐγχέειν· καὶ τόδε ἐς πλεῦνας ἡμέ-
ρας· μετὰ δὲ τὸ ἐκ τουτέου ξύμφορον· φύσας γὰρ ἄγει ἄνω τε καὶ
κάτω· μεταξὺ ἑτέροισι δὲ καὶ οὖρα καὶ κόπριον· ἢν δή ποθεν εἰς
τὸ πᾶν διαθέον ἥκῃ, ἄρωμα, ἡ δὲ κραταιὰ τὰ νεῦρα γίγνεται,
καὶ τὰς ἕξιας ἐς τὸ θερμὸν καὶ ξηρὸν ἀλλοιοῖ, καὶ τὰς καταστά-
σιας τῆς νούσου τρέπει. ἄριστον δὲ καὶ ἐς τὰς ῥῖνας ἐμφυσῆν. καὶ γὰρ
καὶ τῶνδε πνευμάτων καταρρηκτικὸν πταρμοῖσι· καὶ ὁκοῖόν τι
κύστις ἀγωγὸν οὔρων, καὶ ῥὶν μύξης· πταρήσει δὲ θέρμη προσ-
σηνεῖ τάδε τῇδε, καὶ τῶν ἄλλων τὸ πταρμικὸν κρέσσον· πεπέρεος,
ἐλλεβόρου, στρουθίου, εὐφορβίου. τάδε γὰρ ἐς τὴν προσώτην,
ἡ δὲ πυμάτην δίξιν ἀπνέα, καὶ τὰ ἐρακλικὰ κεφαλῆς τι καὶ

1. Vertici capitis
Cucurb. applic.
2 sine ulla virium offensa.

flatus discutit
ruta viridis
Tereb. Resina
P. ½ 1. o fomentis
π lanis sordidis
9 asperis vet:
panic(u)lis
r. pulegium
t. gramen

in quo inferbuerit Ruta
pondus dupli(catum)
immitt(itur) 3. praeter
utilitatem 4 Ra-
tione sumptum
8 tot. corp. dis-
currat 5 inspi-
ratum 6 sternu-
tamentis 7. prae-
stat aliis (ut
Piperi &c. miti
Calore

ad ultimam lactum
ista initia

ἀναίσθητος, ἐκ περισαγωγῆς δὲ τὸ καστόριον ἀλεαίνει· κεφαλῆσι δὲ καὶ ἄλλως ξύμφορον, ὅτι περὶ τὰ νεῦρα πάντη ἐνθένδε περιφύεται· νούσων δὲ νεύρων καστόριον ἰητήριον. ἀλλὰ ξυμμίσγειν τόδε τῶν γεγραμμένων τινὶ, ἢ τισι, οὐκ ἄχαρι. ἢν γὰρ μιχθῇ, μὴ αὐτίκα μὲν κεφαλὴν ξυμμέτρως ταράξαι· ἐς μακρὸν δὲ τὴν θέρμην ἐξάψαι, ὑγρῆναι τὴν ῥῖνα προσκλήσει· ὀσμαὶ δριμεῖαι μὲν ἐς αἴσθησιν, ἐς δύναμιν δὲ θερμαί· ὁκοῖον αὐτὸ τὸ καστόριον, ἢ θύμβρα, ἢ γλήχων, ἢ θύμος, χλωρὰ, ἢ ξηρὰ δευθέντα ὄξει. δριμέων φαρμάκων χρίσιες κατὰ τῶν ποδῶν, καὶ γονάτων. ὕλη δὲ ἔστω ἀλεαίνουσα καὶ δάκνουσα ἐκ περισαγωγῆς. ἀμφοῖν γὰρ χρέος ληθαργικοῖσι ἐς θάλψιν καὶ ἐγρήγορσιν. τὰ πρόσω μὲν ὦν καὶ κνιδημασίζειν τὰ σκέλεα. περισίζουσα γὰρ ἡ ἄχνη, οὐκ ἐς πολλὸν μὲν διαρκέει, ἄλυπον δὲ ὀδαξισμὸν καὶ πόνον ἐνδιδοῖ. μετρίως δὲ ἐρεθίζει τε καὶ παροιδίσκει, καὶ θερμασίην προκαλέεται. ἢν δὲ ἐπὶ μᾶλλον ἐθελήσῃς τάδε τι γίγνεσθαι, λημνίσιδος, ἢ δ' εὐφορβίου ἴσα ξὺν λίπαϊ γλευκίνῳ χρίειν· ἄριστον καὶ σκίλλης ὠμῆς λεπτοῖσι ἐντρίβειν· χρὴ δὲ ἀπομάξαντα τῶν μελέων τὸ ἐλαιῶδες· ἄδηκτον γὰρ πᾶν δριμὺ ξὺν λίπαϊ, ἢν μὴ φαρμακῶδες ἢ κυπρίνῳ, ἢ γλευκίνῳ, ἢ σικυωνίῳ. ἢν δὲ ἐπὶ τουτέοισιν ἔτι βαθὺ κῶμα ἴσχῃ, σικυὸν χρὴ τὸν ἄγριον ξὺν ὄξεϊ ῥίψαντα, σινήπιος ἴσῃ μάζῃ ξυμμίξαντα· τιθέναι· δριμὺ δὲ τὸ ἐπίπλασμα, καὶ ὠκέως ἐρυθήματα ἐντεῦξον, ὠκέως δὲ οἰδαλέη θήμεναι· εἰ κίνδυνος δὲ φλυκταινώσιος καὶ βρωμάτων, ξυνεχέως ἐπαίρειν τὸ ἐπίπλασμα, καθορέοντα μή τι τουτέων ξυμβῇ. τάδε μὲν ὦν, ἐς τὸ νωθὲς καὶ νεκρῶδες αὐτέου καὶ ἐς πάντα καιρὸν, πλὴν τῆσι ἐσβολῆσι τῶν παροξυσμῶν. ἢν δὲ ἀναφέρῃ μὲν ἤδη τὴν αἴσθησιν, βάρος μέν τι ἐπὶ τῆς κεφαλῆς, καὶ ἦχος, ἢ βόμβος ἔῃ, καὶ διὰ τοῦ στόματος ἄγειν φλέγμα, μαστίχην τὰ πρόσω ἐς μάσησιν διδόντα, ὡς ξυνεχὲς ἀποπτύοι· ἔπειτα δ' αὖθις ἀνα-

Cast. paulatim calorem nondum ... Nervorum medetur. calorem diuturnum succenderit, nares pro[r]itatione ... defecerit. 2 Satureia 3. pulegio 4 aceto perfusa 5 ex unguento 6 Urticis flagellare. Urina languo adhaerens non multo durat sed pruritum dolorem non molestum infert 7 scillae crudae tenuibus 8 perfricans et abstergens omnes oleosi artubus 9 cum Ung. q. vis acre minime ... confricare med. cum cyprino 10 Cucumerem cum acet. contritum & ... Policitam ... 11. in tumo... dacto mixtum superimponere ... rem attollet celer. 12 receperit sensus 13 ut contin. exspuat

Herb. pediculorum: granum Cnid.

φίδος ἀγρίης, κόκκου τοῦ τῆς κνίδης, πάντων δὲ μάλιστα σινήπιος, ὅτι τε ξυνήθεες, ἀτὰρ ἤδε ὅτι τῶν ἄλλων μᾶλλον τόδε φλεγμάτων ἀγωγόν· κἢν μὲν καταπίῃ τις ἑκών, ἱκανὸν μὲν τὰ ἐν τῷ στομάχῳ λῦσαι· δυνατὸν δὲ καὶ ὑγρῆναι γαστέρα, καὶ φύσας ἀγαγεῖν. καὶ γάρ μοι κοτὲ ἐκ ξυντυχίης τάδε ξυνέβη, καταπιόντος τοῦ ἀνθρώπου κατὰ γνώμην τὴν ἐμήν· ἀγαθὴ δὲ διδάσκαλος ἡ πείρη· χρὴ δὲ καὶ αὐτὸν πειρῆν. οὐ λαβεῖν γὰρ ἀπειρίη. χρὴ δὲ καὶ τὴν κεφαλὴν μετὰ τὴν κουρὴν τὴν ἐν χρῷ, ἣν μὴ μέγα ἤδε αὔη, ξυρεῖν ἐς διαπνοήν· ἀτὰρ ἤδε ἐς φαρμάκων δριμέων χρῆσιν, οὐ διὰ τῆς λημνίστιδος, ἢ ὕδωρ, ἢ θαψίνη, ἢ σίνηπι ὑγρὸν ἐξ ὕδατος ξὺν ἄρτῳ διπλῷ ἐς σχοῦχον ἐγχείσαντα, ἐμπάσσειν τὴν κεφαλήν· φυλάξαντα δὲ ἐς ὥρην μίην, ἐκκαθαίρειν σπόγγοισι θερμοῖσι πυριῆν. οὐκ ἀνωφελὲς δὲ καὶ λουτρῶν ἤδη πάντων μὲν, ἢ τῶν γε πλείστων καὶ καιρίων τῶν ἐς τὴν νοῦσον λελουμένων. τῆς δὲ νωθείης μενούσης, οὔ τι καὶ αἰώρης χρέος, καὶ τρίψιος, καὶ πάσης προσηνοῦς κινήσιος.

Mitum capiti superdari c. foveri

ΜΑΡΑΣΜΟΥ ΘΕΡΑΠΕΙΑ, κεφ. γ.

Τοῖσι δὲ μέντοι κὴν μαρασμὸς ἔῃ, ἀρήγειν θᾶσσον, ἰόντα ἐπὶ λουτρὰ καὶ κινήσιας. μαρασμοῦ μέντοι καὶ γάλα ἰητήριον, καὶ θρέψαι, καὶ ἀλεῆναι, καὶ ὑγρῆναι γαστέρα, καὶ κύστιν πρηῦναι· ἀτὰρ ἤδε κατόχοις ταὐτὰ τὰ ξυμφέροντα. ὁμοίη γὰρ καὶ ἡ ἐν αὐτῇ τῶνδε τῶν νούσων ἰδέη· κάστορον δὲ τουτέοισι καιριώτερόν τε καὶ εὐμενέστερον πιεῖν τε καὶ χρίσασθαι, καὶ ἐς τὸ ἔντερον ἐνεῖναι· τῇσι δὲ γυναιξὶ, ὁκοῖα τουτέοισι ἴκελα πάθεα ἀπὸ ὑστέρης γίγνεται, ἐν τοῖσι γυναικείοισι λελέξεται.

b. Morb. muliebribus

ΘΕΡΑΠΕΙΑ ΑΠΟΠΛΗΞΙΗΣ, κεφ. δ.

Ἀποπληξίην ἰσχυρὴν μὲν εἴη. ἅπαντα γὰρ ἔασι νεκρώδεες, ἢν δὲ ὁ νουσέων γηραιὸς ἔῃ, τοῖσι δ' ἂρ ξυνήθεες τὸ πάθος. οὐ γὰρ περιγίγνονται τῷ τε μεγέθεϊ τοῦ κακοῦ, καὶ τῇ τῆς ἡλικίης ξυμφορῇ. ὅκως δὲ τεκμήρια τὰ μεγέθεα, πρόσθεν μοι λέλεκται. ἢν δὲ νεηνίης, ἀσθενὴς ἀποπληξίην πέλει, ἰῆσθαι μὲν οὐ ῥηΐδιον, πειρῆσθαι δὲ ὦν. ἰσόρροπον μὲν ὦν ἰητήριον, ὡς μεγάλῳ πάθεϊ μέγα βοήθημα φλεβοτομίη, ἢν μή τις ἐς ἁμαρτωλὴν εἴη τοῦ πλήθεος· δυσέκμαρτον δὲ τὸ μέτρον. ἢν τε γὰρ σμικρῷ πλέον ἀφέλῃς, προσαπέπνιξας τὸν ἄνθρωπον. ἐς γὰρ τὸ ζῆν τουτέοισι, καὶ τὸ σμικρὸν αἷμα δυνατώτατον, καὶ ἡ ἀλέη τῆς ζωῆς τοῦ σκήνεος καὶ τῆς τροφῆς ἐόν· ἢν τε μεῖον τῆς αἰτίης, οὐδὲν μέγα ὤνησας διὰ μεγάλου ἄκεος. ἔτι γὰρ ἡ αἰτίη μίμνει· κρέσσον δὲ ἐς τὸ ἔλασσον ἁμαρτάνειν. ἢν γὰρ καὶ δοκέῃ μὲν ἐνδέειν, χρησταὶ δέ τινες ὑποφάσιες γίγνοιντο, αὖθις ἐπαναταμνέειν τὴν φλέβα. τάμνειν δὲ τὴν ἐν τῷ κοίλῳ τοῦ ἀγκῶνος, εὔροος γὰρ ἥδε ἐν τῷ λαιῷ· ξυντεκμαίρεσθαι δὲ ἐν τῇ σμικρῇ ἀποπληξίῃ καὶ τὰ πάρετα μέρεα, εἰ ἐς τὰ ἀριστερὰ, ἢ δεξιὰ ἡ πάρεσις. ἀπὸ γὰρ τῶν ὑγιηρῶν ὡς ἔπος εἰπεῖν, τὴν ἀφαίρεσιν χρὴ ποιέειν. τῇδε γὰρ τὸ αἷμα εὔροον· τῇδε δὲ ἡ παροχέτευσις ἀπὸ τῶν σιναρῶν. ἢν μὲν ὦν ἀπὸ φανερῆς προφάσιος ἀπόπληκτοι γίγνωνται, ὧδε χρὴ συλλογίζεσθαι ἀμφὶ τῆς ἀφαιρέσιος. ἢν δὲ ἀπὸ πληγῆς, ἢ καταφορῆς, ἢ πέσιος ξυμβῇ, χρὴ ἀναβάλλεσθαι. μετεξετέροισι δὲ τόδε μοῦνον εἰς ἄκεσιν ἠδὲ ζωὴν ἤρκεσεν. ἢν δὲ μὴ δοκέῃ τάμνειν φλέβα, ψύξιος πολλῆς καὶ νάρκης, καὶ ἀναισθήσιος ἀμφισχούσης τὸν ἄνθρωπον, ὑποκλύζειν ἐς κένωσιν τοῦ πλήθεος τῶν ἐν τοῖσι ἐντέροισι. τὰ πολλὰ γὰρ ὑπ' ἀδδηφαγίης καὶ οἰνοφλυγίης ἀπόπληκτοι γίγνονται· καὶ

εἰς τὴν ἀντίσπασιν τῶν τὴν κεφαλὴν ἀμφεχόντων χυμῶν. ἔστω δὲ τὸ κλύσμα δριμὺ, καὶ φλεγμάτων καὶ χολῆς ἀγωγὸν, ὡς μὴ νίτρον ἔχειν μοῦνον, ἀλλὰ καὶ εὐφόρβιον, ὅσον ὁλκῆς τε- ὠβολὸν, ἐς τόδε ξυνήθες πλῆθος τοῦ κλύσματος· καὶ κολοκυν-θίδος τὸ ἐντός· ἢ κενταυρείου τῆς κόμης ἀφεψήματος εἰς ἔ-λαιον, ἢ ὕδωρ. ἄριστον δὲ κλύσμα καὶ τὸ τοιόνδε, ὁ μέλιτος τῷ ξυ-νήθει πήγανον ξὺν τῷ λίπαϊ ἑψηθὲν, καὶ τερμίνθου τοῦ δέν-δρεος τῆς ῥητίνης, καὶ ἁλῶν αἰγυπτίου νίτρου, καὶ ὑσσώπου ἑψήμα-τος. καὶ ἢν ἐκ τῶνδε μικρὸν ἀνέχηται ὁ ἄνθρωπος, ἢ κινεόμε-νος τοῖσι πυρετοῖσι, ἢ αἰσθανόμενος ἀπὸ τῆς ἀναισθησίης, ἢ εὐσφυξίη γένοιτο, ἢ ὄκως τὸ πρόσωπον εὔσημον ἦ, εὔελπιν χρὴ ἔμμεναι, ἤδη ἀρήγειν εὐτολμότερον. κρατύναντα ὧν μέ-σηγυ τὴν δύναμιν, τῆς ἱερῆς τοῦ καθαρτηρίου διδόναι νήστει, μάλιστα μὲν τὸ πᾶν τῆς πόσιος· εἰ δὲ κώλυμα ἡ δύναμις ἔοι, ἐς τὸ ἥμισυ ξὺν μελικρήτῳ, καὶ κινέειν αὐτὸν ἐν δίφρῳ ἐνθέντα ἀνάκλιτον, ἀτρέμα μὲν αἰωρεόντων τῶν φερόντων, διαναπαύ-οντα δὲ ξυνεχὲς διὰ τὸ ἄκοπον. κἢν μὲν ἡ γαστὴρ εὐρόως ὑ-ποφέρῃ, δέχεσθαι· εἰ δὲ μὴ, ὕδωρ ἢ μελίκρητον πιπίσκειν, ὅσον κυάθους δύο. ἢν δὲ καὶ ναυτίη μὲν ἔλῃ ἐπὶ τῇσι καθάρσεσι, μὴ ἀποτρέπειν. ἥτε ἔντασις ἐς ἐγρήγορσιν ἔχει τι ζώπυρον, καὶ ὁ τῶν φλεγμάτων ἔμετος τῆς αἰτίης τῆς νούσου ἄκος. αἰσθήσιος δὲ καὶ κε-φαλῆς, καὶ νεύρων καθαρτήριον, ἡ ἱερὴ τὸ φάρμακον. ἀμφὶ μὲν τῶν κενώσιος παντοίης τῆς ἐν ἀρχῇσι, ἅλις· ὅλον δὲ χρὴ τὸν ἄνθρω-πον ἐρίοισιν εἱλίξαντα, καταιονέειν λίπαϊ Σικυωνίῳ, ἢ Γλευκίνῳ παλαιῷ, ἢ ἐς δεῖ ἑκάστῳ, ἢ ξὺν πάντεσι συμμεμιγμένοισι. ἄρι-στον δὲ κηροῦ μικρὸν ἐντήκειν, ἐς πάχος τῶν ἀλειφάτων. ποιέειν δὲ χρὴ δυνατωτέρην τήνδε· ἐμπάσσειν δὲ καὶ νίτρου καὶ πεπέρεος. ἔστω δὲ λεπτὰ σησθέντα κρησέρῃ· μέγα δὲ ἐς δύναμιν τὸ τῶν πα-ρένων καὶ τὸ καστόρειον καὶ ἄλειμμα, ξὺν πίονι λίπαϊ τῶν ἐρημαίων. πολλὸν δὲ δυνατώτερον, καὶ πιπίσκειν ξὺν μελικρήτῳ. τὸ δὲ πλῆ-

lolio
cyc. iij obol.
pondus. 2. unc.
lot.
frita ad quantitatem
in Ol. Terb.
Tereb. Res.
efeit.
fideat. iam
inec
At. a extegra
c. supinus in
Lect. cubans
lenter gestans
viris portant
b3 ne lassitu
do arceatur
peg. quiescens
d prohibens
conteat. gula
n stimulum
lanis invol.
w sing. seorsim
Crilyo trans-
missa
1 Mitiam
T.
Zum.

θος, ὁκόσον ἐπὶ ληθαργικῶν ἴσμεν. ξὺν τεκμαίρεσθαι δὲ καὶ τὴν ἡλικίην, καὶ τὴν γνώμην τοῦ νοσέοντος, εἰ πιεῖν ἐς πλεῦνας ἡμέρας ἕτοιμος. ἔστι δὲ καὶ χρίσματα κρέσσονα τῆς τέγξιος, εὐφορέστερά τε καὶ δυνατώτερα. οὔτε γὰρ περιῤῥέει ἐς τὸ τῶν στρωμάτων αἶσχος· ἄχαριστον γὰρ τοῖσι κάμνουσι τὸ τοιόνδε, καὶ προσίζεται τῷ σκήνεϊ, ἔστ' ἂν ξυντακέντα ὑπό τε τῆς ἀλέης ἀναποθῇ· ἀλλὰ καὶ τὸ ἀΐδιον αὐτέων ὀνηϊστόν. περιῤῥεῖ γὰρ ἡ τέγξις. ὕλη δὲ ἀλειφάτων μὲν, ὁκόσα μοι λέλεκται· ξὺν αὐτέοισι δὲ καστόριον, ῥητίνη τερμίνθου τοῦ δένδρεος, εὐφορβίου, λημνίσιδος, πυρέθρου ἴσα, πεπέρεος, χαλβάνης ἐς ἥμισυ ξὺν νίτρῳ αἰγυπτίῳ τετραπλάσιον, κηροῦ ὁκόσον ἐς σύστασιν ὑγρήν. πολλὸν δὲ τουτέων φαρμακίη ποικιλωτέρη, καὶ πλέον καὶ ἰδίῃ λέλεκται. ἐπιπλάσματα τῇσι σκληρίῃσι, καὶ τῇσι ἐντάσεσι τῶν μερέων, ἐπιθετέον· ὕλη δὲ, λίνου σπέρμα, τῆλις, ἄλφιτον κρίθινον, μέλι, ἔλαιον, ἔνθα πήγανον, ἢ ἄνηθον ἐζέσθη, ἀλθαίης ῥίζα κοπεῖσα, καὶ ἐν μελικρήτῳ ἑψηθεῖσα, ὡς κηρώδης γενέσθαι· ἔστω δὲ εὐαφέα καὶ προσηνέα τῇ ξυστάσει. ἢν μὲν ὦν ἄπυροι ἔωσι ἔτι, ἢ σμικρὸν ἐπιπυρεταίνωσι, τάδε χρὴ πρήσσειν, οὐκ ἀλεγίζοντα τῆς θέρμης. ἢν δὲ πυρετοὶ ὀξέες ἔωσι, καὶ ἡ ἄλλη νοῦσος σμικροτέρη τῶνδε φαίνηται, καὶ ἐς τὸν κίνδυνον οἵδε ξυνεπείγωσι, πρὸς τούσδε χρὴ τὴν δίαιταν καὶ τὴν ἄλλην θεραπείην ἁρμόζεσθαι. τροφῇσι δὲ ὦν τελέως λεπτοῖσι εὐπέπτοισι χρέεσθαι. καὶ τῇ εὐκαιρίῃ προσεκτέον νῦν μᾶλλον, καὶ τοὺς παροξυσμοὺς ὑποστέλλεσθαι ἐς πᾶσαν ἰητρείην, καὶ τὸ ξύμπαν τοῖσι πυρετοῖσι προσκέεσθαι χρή. ἢν δὲ πρόσω προήκῃ χρόνῳ, καὶ τὴν κεφαλὴν ἐν αἰτίῃ ἴσχῃ, σικύην χρὴ ἐς τὸ ἰνίον προσβάλλοντα, αἱμάσσειν ἀφειδέως. καὶ γὰρ φλεβοτομίης ὀνίνησι μᾶλλον, καὶ τὰς δυνάμιας οὐκ ἀφαιρέει. προτέρη δὲ μεσηγὺ τῶν ὠμοπλατέων κούφην τίθεσθαι ἐς ἀντίσπασιν τοῦ ἐν τῷ ἰνίῳ· παρελύθη κοτὲ καὶ κατάποσις, ἢ γὰρ μούνη καὶ ἀποπλη-

Inunct: nec inquinant stragula in corpore ad. lab. ut strag. adhaer. Ung. a cal. liq. tabsorb. q. succund. Inhaerescendo c Ungm Mata. d triplo c ad Consist. m liq. m.

Sem: gn farinae hord. incisa, cum ad cera crassit: y lenis Consist. & Tact. grata & neglecto Calore t intendunt

subtrah. & lot m Curat m animum i intendere X in vetus. pm Morb. incedat q. occip. st. admov. & magis proficit

ad revuls. m succ. q. quae in Occip. sunt

κτοισι ἄλκαρ ἐστὶ σωτηρίης, ἔς τε τὴν τῆς τροφῆς κατάποσιν, καὶ ἐς τὴν τῶν φαρμάκων πάροδον. οὐ γὰρ ἀτροφίης καὶ λιμοῦ κίνδυνος μοῦνον, ἀλλὰ καὶ βηχὸς καὶ δυσπνοίης, καὶ πνίξιος. κἢν γὰρ καὶ ἐγχέῃ τις εἰς τὸ στόμα ὑγρὸν σιτίον, ἐς τὴν ἀρτηρίην ὑπορρέει, οὔτε τῶν παρισθμίων ξυμπιπτόντων ἐς τὸν ὠσμὸν τῶν σιτίων, οὔτε τῆς ἐπιγλωττίδος ἐπιζούσης ἐς τὴν ἑωυτῆς ἕδρην, ἥ τις ἐπίθημα τῆς ἀρτηρίης πέφυκε. χρὴ ὦν μελίκρητον ἢ χυλὸν ἐγχέαντα μύστρῳ μακρῷ ὑπεραίροντα ὑπὲρ τῆς ἀρτηρίης ἐς τὸν στόμαχον ἐγχέειν. τόδε γὰρ ἔτι ἐς κατάποσιν ὑπουργέει. εἰ δ᾽ ὁ νοσέων ἐς ὄλεθρον εἴη ὕστατον, ὁ δὲ αὐχὴν σὺν τῇ ἀναπνοῇ πήγνυται, τόνδε τὸν αὐχένα, καὶ τὸν ἀνθερεῶνα θερμάσμασι χλιαίνειν τε καὶ πυριῇν. ματαιόπονοι δὲ καὶ αἴδριες, ὁκόσοι συκίην ἐς τὸν ἀνθερεῶνα προσβάλλουσι, ἐς εὐρύτητα τοῦ στομάχου. οὐ γὰρ διαστάσιος χρέος ἐς ἔνθεσιν τῆς τροφῆς· ἀλλὰ ξυμπτώσιος ἐς κατάποσιν· προσδιαστέλλει δὲ σικύη, κἢν καταπίνειν θέλῃ, ἐπέχει τῇ ἀποστάσει τε καὶ ἀνθολκῇ· ἐπανιέναι δὲ χρὴ ἐς τὴν προσβολὴν τῆς καταπόσιος· πρὸς δὲ τουτέοισι τὴν ἀρτηρίην πληροῖ ἐς κίνδυνον ἀποπνίξιος. ἀλλ᾽ οὐδ᾽ εἰ ἔνθα καὶ ἔνθα τοῦ βρόγχου θείης, ἀρήγει· μύες γὰρ καὶ νεῦρα, καὶ τένοντες, καὶ φλέβες, ἐπίπροσθεν ἔασι αὐτέου. κύστις δὲ καὶ τὸ χαλαρὸν ἀρχοῦ, ἄλλοτε μὲν ἐς ἔκκρισιν παρεῖται, καὶ ἔστι τῶν περιττῶν ἀεὶ ἐόντα πλήρεα· κύστις δὲ καὶ ἐς ὄγκον μέγιστον ἀείρεται. ἄλλοτε δὲ εἰς κάθεξιν αὐτέων. διαρρέει γὰρ τὰ περιττὰ, ὡς δὴ ἀψύχων. ἔνθα ὦν ἐς μὲν τὴν κύστιν τῷ καθετῆρι ὀργάνῳ οὐκ εὔτολμον χρέεσθαι. κίνδυνος γὰρ σφακελίζειν τῇ κύστι, ἢ δὲ σπασμὸν διδόναι τῷ ἀνθρώπῳ· ὑποκλύζειν δὲ μὴ πολλῷ πλήθεϊ τοῦ χυλοῦ, κρέσσον· κἢν ἐκκοπρωθῇ τὸ ἔντερον, προστιθέναι ξὺν ἐλαίῳ καστόριον. ἐλπὶς δὲ μούνη καὶ πάντων ὁμοῦ τῶν παρέτων, καὶ ἰδίῃ τῶν μερέων, ἢ ἐς ἔλαιον ἐνίζησις. ὁ δὲ τρόπος αὐτέης, ἐν τοῖσι χρονίοισι εἰρήσεται.

prosd[m]:

subterlabetur b. ad depellendos cibos nec Epig. in locum subsidat quae a Nat[ur]a constit. pro Operculo Art[eriae]: o. lingum cochlear[em] supra Art[eria]m sublatum et mentum et impressi b. ad gulam dilatandam c. sed compressione d. deducit gulam & aperiens + retrahens remitti deb[et] ad constrict[ionem] [illegible] lapsum inter linum huic vicinum

v [illegible] retinere possit lang[uor] e mort. x in Oleo Sessio [illegible] Ratio

ΘΕΡΑΠΕΙΑ ΠΑΡΟΞΥΣΜΟΥ ἐπιληπτικῶν, κεφ. ε.

Τῆς ἐπιληψίης ὀλεθρίη μὲν ἡ προσπίπτουσα κατάπτωσις, ἢν ὀξέως εἰσβάλλῃ ἡ νοῦσος. ἔκτεινε γάρ κοτε καὶ ἡμέρῃ μιῇ. κινδυνώδεες δὲ καὶ οἱ ἐν τῇσι περιόδοισι παροξυσμοί. διὰ τάδε μὲν ὦν καὶ ἐν τοῖσι ὀξέσι καταγέγραπται ἡ ἐπιληψίη. ἢν δὲ ἐς μελέτην μὲν ἥκῃ τοῦ κακοῦ ὥνθρωπος, ἡ δὲ νοῦσος ἀπρὶξ ἐμφῦσα ἔχηται, οὐ χρονίη μοῦνον γίγνεται, ἀλλὰ μετεξετέροισι αἰωνίη. ἢν γὰρ ὑπερβάλλῃ τὴν ἀκμὴν τῆς ἡλικίης, ξυγγηρᾷ τε καὶ ξυναποθνήσκει. ὁκόσα μὲν ὦν ὡς χρονίῃ ἐπιτήδεια, ἐν τοῖσι χρονίοισι λελέξεται. ὁκόσα δὲ ἐς τὸ τάχος τοῦ ὀλέθρου προσηκέα, τῶνδε τὰ πλεῖστα μὲν ἐπὶ τοῖσι ἀποπληκτικοῖσι λέλεκται, φλεβοτομίη, κλύσματα, χειρίσιες, συκίη. τάδε γὰρ ἐς ἀνέγερσιν δυνατώτατα. ὁκόσα δὲ ἴδια καταπτώσιος ἄκεα, τάδε νῦν φράσω. παιδίοισι μὲν ὦν οἷσι ἐκ διαφθορῆς, ἢ ἐκ ψύξιος ἰσχυρῆς, ἀξυνίητες τὸ πάθος, ἔμετος ἢ σιτίων, ἢ φλέγματος, ἢ ἄλλου χυμοῦ τινὸς, ὀνήϊστον. πτίλα δὲ ἰρίνῳ μύρῳ δευθέντα, ναυτίην ἐρεθίζει· ἀτὰρ καὶ τὸ ἴρινον οὐκ ἄχρι σπασμῶν εἰς τὴν τῶν παιδαρίων χρίσιν. ξυμπιέζειν δὲ τὴν λαγόνα πρηέως ἐπὶ γαστέρα ἐκκρεμὲς προσβάλλοντα τὸ παιδίον. τόδε γὰρ τὸ σχῆμα πρὸς ἔμετον ῥήϊστον. ἢν δὲ καὶ σπᾶται ἢ διαστρέφηται τὴν κάτω γνάθον, ἢ τὼ χεῖρε καὶ τὰ σκέλεα ῥιπτῆται, καὶ ξὺν παντὶ τείνηταί οἱ ὤψ, ψηλαφίῃ ξὺν λίπαϊ μαλθάσσειν. ἀπιθύνειν τε τῆς ὄψιος τὰ διάστροφα· πρηέως δὲ διακρατέειν, ὡς μὴ διαστρέφηται τὰ ἦθεα. τὰ ψυχρὰ πυριῆν εἰρίοισι παλαιοῖσι πιναροῖσι ῥάκεσι, διαχλιαίνειν τε τὴν ἕδρην μάλιστα ξὺν πηγανίνῳ ἐλαίῳ· ἢ ξὺν νίτρῳ· ἢ ῥητίνῃ ὑγρῇ ξὺν τοῖσδε, καὶ διωθέειν πρηέως ἔσω τῆς ἕδρης. τάδε γὰρ φυσέων ἀγωγὰ· φύσας

ad arcendam Mortem subitam. b. ad excitandum.
propria prolapsui remedia
usitatus aff.: prodest. Penna ung. irino deli-buta c. non inutile. d. Ilia leniter comprimenda in Ventre prono collocato. e.q. si convellatur aut perversatur Max.a inf. aut Max. pedesq. disjic.: totusq. vultus intend. oleo perungatur
emoll. da. diriq. da. partes Ocul. distorta, leniter continenda ne recta partes distorq. frig. fovend. panniculis sordidis f. immittel. in ano

δὲ δειξίοισι τῆσδε τῆς νούσου παῖδες· ἢν δὲ καταπίνειν δυνέωνται, διδόναι τοῦδε τοῦ φαρμάκου, καρδαμώμου μέρος ἕν· χαλκοῦ κερ. α. τάδε ξὺν μελικρήτῳ πιπίσκειν. ἢ γὰρ ἐξήμεσαν ξὺν τοῖσι ἐν τῷ στομάχῳ πιέζουσι, ἢ ὑπηλάθη ἡ γαστήρ. ἄριστον δὲ ἔκλειγμα καὶ τόδε, τοῦ καρδαμώμου, καὶ σινήπιος, καὶ ὑσσώπου τῆς κόμης ἴσα, ἴελδος τῆς ῥίζης μέρος α, ξὺν νίτρου διπλασίῳ, πεπέρεος ἐς τρίτον, μέλιτι φυρήσαντα ὁμοῦ τὰ πάντα, διαστήσαντα τὴν γλῶσσαν ἐς τὸ στόμα ἐγχέειν, ἀτὰρ καὶ ἔτι προσωτέρω τῶν παρισθμίων, ὅκως καταπίοιεν. τάδε μὲν ὦν, παιδίοισι· τοῖσι δὲ νεηνίῃσι, καὶ τάδε ξύμφορα· ἀτὰρ καὶ φάρμακα δυνατώτερα ἐς ἔμετον αἱρέεσθαι, ναρκίσσου βολβοὺς, σινήπιος καὶ ὑσσώπου ἴσα, καὶ χαλκοῦ καὶ πεπέρεος, μοίρης τῶν προτέρων ἐς ἥμισυ, σὺν μέλιτι φυρήσαντα διδόναι· τάδε μὲν ὦν ἐς αὐτὴν ἔγερσιν τοῦ παροξυσμοῦ· τὰ δὲ ἐς λύσιν τοῦ νοσήματος, ἐν τοῖσι χρονίοισι λελέξεται.

ΘΕΡΑΠΕΙΑ ΤΕΤΑΝΟΥ, κεφ. ς.

Νὺν μάλα χρὴ κοίτην μαλακὴν, εὐαφέα, λείην, προσηνέα, θερμὴν ἔμμεναι. ἀπηνέα γὰρ καὶ σκληρὰ, καὶ πταινόμενα τὰ νεῦρα ὑπὸ τῆς νούσου γίγνεται. ἀτὰρ καὶ τὸ δέρμα πᾶν καρφαλέον καὶ τρηχὺ περιτέταται, τὰ προσεύρχα βλέφαρα μόγις τοῖσι ὀφθαλμοῖσι ἐπιμύει· ὀφθαλμοὶ δὲ ἀτενέες ἐνδεδινημένοι. ἀτὰρ καὶ τὰ ἄρθρα ξυνδέδεται οὐ κινεύμενα τῇ τάσει. ἔστω δὲ καὶ ὁ οἶκος ἀλεεινός· κἢν θέρεος ᾖ, μὴ μέχρι ἱδρώτων ἢ ἐκλύσιος. ἐς συγκοπὴν γὰρ ἡ νοῦσος ῥέπει. χρὴ δὲ μηδὲ ἐς τὰ ἄλλα τὰ μεγάλα ἄκεα μέλλειν. οὐ γὰρ καιρὸς ἀμβολῆς. εἴτε ὦν διὰ ψύξιν, αἰτίου φανερῆς προφάσιος γένοιτο τέτανος, εἴτε ἐπὶ τρώματι, εἴτε ἐπ' ἀμβλώσει γυναικὸς, φλέβα τὴν ἐπ' ἀγκῶνι τάμνειν. προθυμη-

expuls. flat. liberantur
aeris combusti pars. S. Vom: ē iis stom. infestantib? redd? aut sub=ducit alv.: c una mixta diducta maxilla. prosunt
Hec ad accessionis depellandum.
lecti gratia rigidos. Cutis siccitate intendit, versatiles palpebrae connivent. Vent. defixi introrsum. volutae 2. tepescat. 3. citra languorem. ex abortu

θευόμενον καὶ τὴν πίεσιν τοῦ βραχίονος ἐν τῇ ἐπιδέσι, ὡς ἐς ἄνεσιν ἔχοι, καὶ τὴν τομὴν, ὡς εὐαφέως καὶ ῥηϊδίως γένοιτο. τάδε γὰρ σπασμῶν προκλήσιες· καὶ ἐσάπαξ ἀφαιρέειν εὖ μέζως, μὴ μέχρι λειποθυμίης καὶ περιψύξιος· μηδὲ ἐπ' ἀσιτίης ἔῃ. ψυχρὸν καὶ ξηρὸν λιμός. διδόναι οὖν μελίκρητον πάχεος ἀκρητεστέρου, καὶ πτισάνης χυλοῦ ξὺν μέλιτι. τάδε γὰρ καὶ παρειμένοισι ἐς ἔκθλιψιν ἀπονώτατα καὶ στομάχῳ ἐς κατάποσιν λεῖα καὶ ῥηΐστα, καὶ ἐς μάλθαξιν κοιλίης μαλακώτατα, καὶ ἐς δύναμιν δυνατώτατα· τὸ δὲ ξύμπαν σκῆνος ἐρίοισι κατειλίχθω δεδευμένοισι ἐλαίῳ γλευκίνῳ, ἢ κροκίνῳ, ἐν οἷς ἢ λιβανωτὶς, ἢ κόνυζα, ἢ ἀρτεμισίη ἐνέψηται. καὶ τὰ πάντα θερμὰ ἐς δύναμιν καὶ ἐς θίξιν ἔσω· χρίειν δὲ τῷ διὰ τῆς λημνίσιδος, καὶ εὐφορβίου, καὶ νίτρου, καὶ πυρέθρου ἀλείμματι· προσβάλλειν δὲ τοῖσδε τοῦ καστορείου συχνόν· εὖ δὲ καὶ τοὺς τένοντας ξυλλαμβάνειν τοῖσι ἐρίοισι, καὶ χρίειν καὶ τὰ παρ' οὖς καὶ ἀνθερεῶνα. τάδε γὰρ μάλιστα πάσχει τε δεινὰ καὶ τείνει. πυριῆν δὲ κούφοις θερμάσμασι τένοντας, καὶ κύστιν, μαρσίποις ἔχουσι κέγχρον πεφωγμένην, ἢ κύστεσι βοῶν ἐλαίου θερμοῦ ἡμιπληρέσι, ὡς εἰς πλάτος ἐπικέηνται τῶν πυριωμένων χωρίων. ἐβιήσατό ποτε ἀνάγκη πυριῆσαι κεφαλὴν, οὐκ ἀσφαλὲς μὲν αἰσθήσεσι, νεύροισι δὲ ἀγαθόν. ταῖς δὲ μὲν γὰρ ὁμίχλης ἐπαναφορὴν ἀνίησι ἀτμῶν· πίμπλησι δὲ τὰ νεῦρα. χρὴ οὖν ὧδε τρόπῳ τε τῆς πυριῆς ὡς ἀσφαλεστάτῳ χρέεσθαι, καὶ ὕλῃ μὴ σφόδρα βαρυόδμῳ μηδ'· ἀλλὰ ὕλη μὲν ἔστω ἔλαιον τὸ ἐν κύστεσι ἄκνισον, ἐν διπλῷ ἀγγείῳ ἑψηθὲν, ἢ ἅλες λεπτοὶ ἐν τῷ μαρσιππίῳ. κέγχρος γὰρ καὶ λίνου σπέρμα εὐαφέα μὲν, ἀτμώδεα δὲ καὶ βαρύοδμα. τρόπος δὲ πυριῆς. ὑποπετάσθαι δεῖ τοῖς τένουσι ὑπτίοισι τὰ πυριάματα, ἄχρι τῆς κορυφῆς· προσωτέρω δὲ ἐπὶ τὸ βρέγμα μὴ προβαίνειν. τόδε γὰρ τὸ χωρίον, ἁπάσης μὲν τῆς αἰσθήσιός ἐστι κοινὸν, καὶ ἀπὸ τοῦδε πᾶσαι αἱ

ἀφέσιες ὠφελίης τε καὶ βλάψιος. ἢν δὲ ἐπιπλάσσειν δέῃ τοῖς τένοντας, ὄρθιον ἔστω τὸ ἰνίον. ἀνωτέρω γὰρ εἰ θείης, τὴν κεφαλὴν πλήσσεις ἀτμῷ τοῦ λίνου τοῦ σπέρματος καὶ τῆς τήλεως. ἐπὶ γὰρ τοῖσι ἐπιπλάσμασι ἀγαθὸν ἡ σικύη ἐς τὸ ἰνίον τῆς ἐσχάρας ἑκατέρωθεν. ἔστω δὲ φειδὼ πολλὴ τῆς φλογός. ὀδυνηρὸν γὰρ καὶ σπασμῶδες τῶν χειλέων τῆς σικύης ἡ ἀμφίθλασις. χρὴ ὦν ἐς ξηρὸν ἕλκειν, καὶ μαλθακῶς μᾶλλον, ἢ ἀθρόον ἐν ὀλίγῳ χρόνῳ. ὧδε γὰρ αὐτοῖσι κυρτωθὲν τὸ χωρίον ἀπόνως, ὅπερ ἐπιτάμνειν χρή. τεκμήριον δέ τοι τῆς αἱμάξιος τῆς συμμετρίης, ἡ δύναμις γιγνέσθω. τάδε μὲν ὦν τῶν αὐτοῦ ἑλκέων πεπαίνων τὰ ἄκεα. ἢν δὲ ἐπὶ τῷ σώματι σπασμὸς γίνηται, ὀλέθριον μὲν καὶ δυσέλπιστον. ἀρήγειν δὲ χρή. μετεξέτεροι τε γὰρ τῶν ἐκ τοιῶνδε ἐσώθησαν. χρὴ ὦν πρὸς τῇ ἄλλῃ ἰητρείῃ, καὶ τὰ ἕλκεα ἰῆσθαι, τέγξι θερμαινόντων ἅσσα μοι λέλεκται, καὶ πυρίῃ καὶ ἐπιπλάσμασι, φαρμάκοισί τε ὁκόσα ῥηϊδίως θερμαίνει τε καὶ πλεῖον τέγξει πύον. ξηρὰ γὰρ ἐπὶ πεπαίνῳ τὰ ἕλκεα. ἔστω ὦν λιβανωτοῦ τῆς μάννης, καὶ πολίου τῆς κόμης, καὶ ῥητίνης ἀπὸ τερμίνθου, καὶ πίτυος τῶν δενδρέων, καὶ ἀλθαίης ῥίζης, καὶ πηγάνου, καὶ κονύζης τῆς βοτάνης. τάδε χρὴ συμμίσγειν τοῖς ἐπιπλάσμασι, τὰ μὲν τήκοντα, τὰ δὲ ἐμπάσσοντα, τὰ δὲ ξὺν ἐλαίῳ προαλεαίνοντα. ἐν μελικρήτῳ δὲ τὴν ἀλθαίην κεκομμένην προεψεῖν. ἐπιπάσσειν γὰρ τῷ ἕλκεϊ καὶ τοῦ καστορίου. οὐ μικρὴ δὲ ἡ ἔνθεν ἀλέη ὅλῳ τῷ σκήνεϊ, ὅτι καὶ τὰ ῥίγεα τὰ ἀπὸ τῶν ἑλκέων κακοήθεα. ἐγχέειν δὲ τὰς ῥῖνας τοῦ καστορίου ξὺν κρινίνῳ λίπαϊ. ἀλλὰ καὶ πιπίσκειν τοῦ δὲ ξυνεχέως ὁκόσον ὁλκῆς τριώβολον. ἢν δὲ πρὸς τόδε ἀπαυδήσῃ ὁ στόμαχος, μεσηγὺ σιλφίου ῥίζης διδόναι τῆς ὁλκῆς τὸ ἶσον τῷ καστορίῳ, ἢ σμύρνης τοῦ σιλφίου ἥμισυ. ἅπαντα δὲ ξὺν μελικρήτῳ πιπίσκειν. εἰ δὲ εὐπορείη ὀποῦ τοῦ σιλφίου τοῦ ἀπὸ τῆς Κυρήνης γίνοιτο, τόνδε χρὴ μέλιτι ἑφθῷ ἐνειλίξαντα

omnes derivat et occipitium erect. 2. frigiores ab utroq. Latere Spinae 3 4 parvum flamma 5 arcta impressio. 6. dum in convexum tumorem attollit

movent

alia lig. 80 alto in Pulv. ~~[illegible]~~ ~~[illegible]~~ magis aad. c. Ol. 2. Calor propin. ad pond. Ob. iij rad. laserpitii interponenda

Lachryma Copia f. a Laserp. Cyrenaico in mello cocto involutam ad ervi magnitudinem devorandam dato

ὁκόσον ὀρόβου μέγεθος καταπιεῖν διδόναι. ἄριστον γὰρ ὧδε, ὡς τὴν ὑπερῴην λάθοι παραλλάξας. δριμὺς γὰρ, καὶ τὴν ἐρυγὴν ἀπηνὴς καὶ κακόοδμος ἐών· ἢν δὲ μὴ δύνηται ὧδε καταπιεῖν, μελικρήτῳ λύσαντα διδόναι. ἁπάντων γὰρ τῶν καταποτῶν δυνατώτερον, ὁκόσα πέφυκε ἀλεαίνειν τε καὶ ὑγραίνειν, καὶ ἀνιέναι τῆς τάσιος, καὶ μαλθάσσειν νεῦρα· ἢν δὲ μηδὲν καταπίνωσι, ἐς τὴν ἕδρην ἐγχέειν ξὺν ἐλαίῳ τοῦ καστορίου· τῷδε καὶ χρίειν τὴν ἕδρην ξὺν λίπαϊ ἢ μέλιτι· τῷδε καὶ τὴν κύστιν τέγγειν τε καὶ χρίειν ἐς πάχος ξὺν κηρῷ τήξαντα. ἢν δὲ καὶ φύσας καὶ κόπρον ἄγειν καιρὸς ᾖ, τῆς ἱερῆς τοῦ καθαρτηρίου ὁλκῆς < δύο ξὺν μελικρήτῳ καὶ ἐλαίῳ ἐνιέναι. ξὺν γὰρ τῷ ἄγειν τάδε, ἔτι καὶ τὸ ἔντερον καὶ τὴν κάτω κοιλίην ἐκπυριῇ. ποικίλον γὰρ καὶ θερμὸν φάρμακον, ἱερή.

ΘΕΡΑΠΕΙΑ ΣΥΝΑΓΧΗΣ, κεφ. ζ.

Δοιαὶ συνάγχης ἔασι ἰδέαι· ἡ μὲν σὺν θερμασίῃ καὶ μεγάλῃ πρήσι τῶν παρισθμίων, καὶ ἐξογκοῦσι ἔξω· ἀτὰρ καὶ ἡ γλῶσσα καὶ ὁ γαργαρεών, καὶ πάντα τὰ τῇδε μέρεα, ἐς ὄγκον ἀείρεται· ἡ δὲ ἑτέρη, ξύμπτωσίς ἐστι τουτέων, ἡ δὲ ἐς τὸ ἔσω πίεσις, ξὺν ἀγχόνῃ μέζονι, ὡς δοκέειν τὴν φλεγμασίην εἴσω μέχρι τῆς καρδίης ἐρηρεῖσθαι. τῇδε χρὴ μάλιστα ὠκέως ἀρήγειν. τῇδε γὰρ καὶ ὠκέως θνήσκουσι· ἢν μὲν οὖν ἀπὸ κραιπάλης, καὶ οἰνοφλυγίης ἔωσι, ὑποκλύζειν αὐτῆμαρ. ἀλλὰ καὶ διττοῖς κλύσμασι, τῷ μὲν ξυνήθεϊ ὡς ἄγειν κοπρώδεα· τῷδε, ὡς ἀποσπᾶσθαί τι τῶν χυμῶν ἀπὸ τῶν παρισθμίων τέ καὶ θώρηκος. ἔστω ὦν ἀλλὰ μήτε ἀκρητεστέρη, * καὶ κενταυρείου καὶ ὑσσώπου ἑψήματα. τάδε γὰρ καὶ φλεγμάτων ἀγωγά· κἢν δὲ ἀπὸ λεπτῆς διαίτης ἔωσι, τάμνειν φλέβα τὴν ἐν ἀγκῶνι· μέζονα δὲ τὴν το-

μὴν χαλάζειν, ὅκως ῥοιζηδὸν ἢ δὲ ἀθρόον ῥέῃ τὸ αἷμα. ὁ δὲ γὰρ
ὁ ῥόος, ἱκανὸς μὲν ὡς ἥκιστα θερμασίην πρηῦναι· δυνατὸς δὲ
ἀγχόνην λῦσαι, καὶ πάντα μειῶσαι· οὐκ ἀγεννὲς δὲ καὶ μέχρι
λειποθυμίης ἄγειν, μὴ μέντοι λειποθυμέειν. μετεξέτεροι γὰρ ξὺν
τῇ πληγῇ ἐξέθανον ἐπὶ τῇ λειποψυχίῃ, ἢ δεσμοῖσι σφυρῶν
σφίγγοντες ὑπὲρ σφυρὰ καὶ γούνατα· ἄριστον δὲ καὶ ὑπὲρ καρ-
ποὺς ἐς πήχεας, καὶ ὑπὲρ πήχεας ἐς βραχίονα· ἢν δὲ καταπί-
νειν ῥηΐσον ᾖ, ἐλατήριον διδόναι ξὺν μελικρήτῳ καὶ ὀῤῥῷ γάλα-
κτος, ὁκόσον ἂν καθῆραι ἱκανὸν ᾖ τὸν ἄνθρωπον. ἐλατήριον
δὲ τοῖς δὲ τῶν ἄλλων καθαρτηρίων κρέσσον· ξύμφορον δὲ καὶ
κνέωρον καὶ νάπυ· τώδε γὰρ ἄμφω τὰς κοιλίας καθαίρει· ἐπὶ
δὲ τοῖσι ἢν μὴ ἐνδιδῶσι αἱ πρήσιες, πρὸς τὸν οὐρανὸν ἀνα-
κλάσαντα τὴν γλῶσσαν, τέμνειν τὰς ἐν αὐτέῃ φλέβας· κἢν
εὐρόως καὶ πολλὸν ῥυῇ τὸ αἷμα, τῶν ἄλλων μᾶλλον ἂν ὀνήσει. τέλ-
ξιες ἐπὶ τοῖσι φλεγμαίνουσι, τὰ πρόσω μὲν στύφουσι, ὅκως
ἐς παλίρροιαν ἴωσιν αἱ ὗλαι· ἔπειτα τῶν πιναρὰ ξὺν ὑσσώ-
πῳ δευθέντα οἴνῳ καὶ ἀλείφατι τῷ ἀπὸ τῆς ἐλαίης τῆς ὄμφακος.
ἀτὰρ καὶ τὰ ἐπιπλάσματα ἴκελα τῇ τέγξι, φοίνικες ἐν οἴ-
νῳ δεδευμένοι, λεῖοι ξὺν ῥόδοισι τοῖσι πετάλοισι. ὡς δὲ γλίσχρον
τε καὶ μαλακὸν εἴη τὸ ἐπίπλασμα, καὶ ἄλφιτον ἔστω, ἢ λίνου
σπέρμα, καὶ μέλι, καὶ ἔλαιον, ἐς τὴν ἁπάντων μίξιν· ἢν δὲ ἐς
πύησιν τρέπηται, τοῖσι θερμοῖσι χρέεσθαι, οἷσπερ καὶ ἐπὶ τῆς ἑτέ-
ρης συνάγχης. τῆλις ὦν ἔστω τὸ ἄλφιτον, καὶ μάννα, καὶ ῥητίνη
τὰ τηκτὰ, καὶ πολὺ κόμμι ἐμπασσέσθω, καὶ πυρίη θερμὴ σπόγγοι-
σι δάφνης τοῦ καρποῦ καὶ ὑσσώπου ἑψήματι· ἐς δὲ ἐμπύησιν
δυνατώτατον, πελιάδων ἢ κυνῶν κόπρον προσεπιπάσσειν
λεπτὴν ἀπὸ κρησέρης· διακλύσματα δὲ, μελίκρητον ξὺν φα-
κῆς, ἢ ὑσσώπου ἑψήματι, ἢ ῥόδων, ἢ φοινίκων, ἢ ὁμοῦ πάντων.
ἐγχρίειν δὲ τὸ στόμα πᾶν μέχρι τῆς ἔσω φάρυγγος, ἁπλόοισι μὲν
χυλῷ μόρων, ῥοιῶν ὕδατι λεανθέντων, ἢ φοινίκων ἑψήμα-

c Impetus mitigare, imminuenda non inutile non omnino defecerit. 2 Ligaturis astrictis, supra carpos versus cubitum 3. sero Lact. 4. sinapis 5 utrumque ventrem. 6 non remittant: 7. lingua in palatum reducta 8 afferet magis auxilii. ut repercutiant materiam 9 Oleo quod efficitur ex Olivis immaturis. 10 palmulae vino intinctis. laevigat. 8 fol. Rys.

11. adde farina.; 12 pollen foen. gr. 13 inspergatur. 14 fomenta Laur. bacc.rum 15 Cribro tenui transmissum inspersum, oris collutione ex mutua c. lentis 16 moro[rum] quam succo vel malorum punic. aq. laevig.

ut ex Med. q.e ex [illegible] effect. vel q.d

τι· φαρμάκοισι δὲ, τῇ διὰ τῶν μόρων, ἢ καὶ τῇ βησασᾷ, καὶ χυλῷ ῥοὸς, καὶ τῇ διὰ τῶν χελιδονίων. ἢν δὲ ἕλκεα ἐσχάρων ἔωσι, διακλύσματα τάδε καὶ ἀνακογχυλισμοὶ, ὑσσώπου ἀφεψήματι ἐν μελικρήτῳ, ἢ σύκων τῶν πιόνων ἐν ὕδατι, καὶ ἐπὶ τοῖσδε ἄμυλος διηθεὶς ἐν μελικρήτῳ, ἢ πτισάνης χυλῷ, ἢ βάλου· ἐπὶ δὲ τῆς μετὰ ξυμπτώσιος συνάγχης, ἔσωθεν ἔξω ἄγειν πάντα, καὶ ὑγρὰ, καὶ θέρμην, καὶ σάρκα πᾶσαν, ὡς ἐξογκέῃ ἔξω τὸ πᾶν. ἔστωσαν οὖν θερμαὶ αἱ τέγξιες, ξὺν πηγάνῳ καὶ ἀνήθῳ ἐμπασσομένου νίτρου, καὶ ἐπιπλάσματα ξὺν τουτέοισι τὰ πρόσθεν. ἀγαθὸν δὲ κηρωτὴ σὺν νίτρῳ καὶ σινήπι πιθέναι ἐς θερμασίην. θερμασίη γὰρ ἡ ἐς τὰ ἔξω, τὰ τοιάδε ἰῆται. ἀτὰρ ἢδὲ ἐξογκέει ἐς τὸν αὐχένα· ὄγκος δὲ περιπνευμονίης ῥύεται ἐπαιωρεύμενος ἔξω· εἴσω δὲ τοῖσι συναγχικοῖσι ὀλέθριον κακόν· ὁκόσοι γὰρ ὑπ' εὐλαβίης τῆς ἐπὶ τῆς συνάγχης πνιγὸς τὴν ἀρτηρίην ἔταμον ἐς ἀναπνοὴν, οὔμοι δοκέουσι πεῖρῃ τὸ πρῆγμα πιστώσασθαι. ἥ τε γὰρ θερμασίη τῆς φλεγμασίης μέζων ἐκ τοῦ τρώματος γίγνεται, καὶ προστιμωρέει τῇ πνιγὶ, καὶ βήσσοισι· ἢν δὲ καὶ ὅμως ἐκφύγωσι τόνδε τὸν κίνδυνον, οὐ ξυνάγεται τοῦ τρώματος τὰ χείλεα. ἄμφω γὰρ χονδρώδεα καὶ ἀξύμφυτα.

cartilaginea et ad glutinand. non apta.

Diabesasa dicitur, aut ex [illegible] succo vel humadiribus. 2 Crustis obduc. 3 ping. fic. 4 Amylum cribro trajectum 5 contra nitr. inspers. [illegible] Tumorem foras excitat a verentes b. confirmare [illegible] ab exp[illegible] e fervore [illegible] et conspicat [illegible]

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ κιονίδα παθῶν, κεφ. η.

Τῶν παθέων ὁκόσα ἀμφὶ τὴν κιονίδα γίγνεται, τὰ μὲν ὑποτάμνειν χρὴ, ἀλλ' οὐ τοῦ παρεόντος λόγου ἡ τῶνδε χειρουργίη. τὰ δὲ ὡς ὀξέα ἰῆσθαι. ῥηϊδίως γὰρ πνίγει, καὶ διαπνοίην ἔνια τουτέων κλείνει. τοιάδε μέν τι ἐστὶ, ἣν καλέομεν σταφυλήν τε καὶ κιονίδα. ἄμφω γὰρ ξὺν φλεγμασίῃ καὶ πάχεϊ καὶ μήκεϊ ξυνίστανται, ὡς ἐς τὴν ἀρτηρίην ἐκκρεμέα γίγνεσθαι.

[illegible], ita ut Columella in asp. art.m dependeat.

in cione Col.a aequaliter crassa est a basi ad summum Palatum.

ἴσῳ μὲν πάχεϊ, καὶ μήκεϊ ξυνίστανται, ὡς ἐς τὴν ἀρτηρίην ἐκκρεμέα γίγνεσθαι, ἴσῳ μὲν πάχεϊ ἀπὸ τῆς βάσιος μέσφι ἄκρου τοῦ οὐρανοῦ, ὁ κίων· αἴσῳ δὲ, ἡ σαφυλή. τῆς δὲ γὰρ ἰσχνὴ μὲν ἡ ἀπὸ τοῦ οὐρανοῦ βάσις· ἐς δὲ τὸ ἄκρον στρογγύλη καὶ παχεῖα, ξὺν ἐρυθήματι ἢ πελιδνώσει. τῇδε καὶ σαφυλὴν ἐπίκλησιν ἔσχηκε τὸ πάθος. τοῖσι ὧν χρὴ ὠκέως ἀρήγειν. ὤκιστος γὰρ ὁ ἀπὸ πνιγὸς ὄλεθρος. ἢν μὲν ὧν νεηνίαι οἱ πεπονθότες ἔωσι, τάμνειν τὴν ἐπ᾽ ἀγκῶνι φλέβα, ἢ δ᾽ ἀθρόον κενοῦν μέζονι τῇ τομῇ. ὡς γὰρ ἀπ᾽ ἀγχόνης ἀπέλυσε τῆς πνιγὸς ἡ τοιήδε ἀφαίρεσις. ἢν δ᾽ ὑποκλύζειν κλυσμῷ πρηέϊ, ἔπειτα δὲ δριμέϊ ἄλλοτε καὶ ἄλλοτε, ἔστ᾽ ἂν ἑλκύσῃ τὶ ἄνωθεν ἐς μετάστασιν. περιεκέσθωσαν δὲ καὶ δεσμοὶ σφίγγοντες ἄκροισι τοῖσι σκέλεσι ὑπὲρ σφυρὰ καὶ γούνατα, καὶ ὕπερθεν καρπῶν καὶ πήχεων ἐς βραχίονας. εἰ δέ τι ἡ πνὶξ ἐπιπαρέρχοι, συκίην ἐπὶ τὸ ἰνίον, ἢ δὲ ἐς τὸν θώρηκα προσβάλλειν, καὶ τουτέων ἐνταμνεῖν τινά, πρηΰνειν τε ἅπαντα, ὁκόσα μοι ἐν τῇ συνάγχῃ λέλεκται. ωὑτὸς γὰρ ἀμφοῖν ὀλέθρου τρόπος· ἀλλὰ καὶ τοῖσι ἐς τὸ στόμα φαρμάκοισι τοῖσι αὐτέοισι χρῆ ἐέσθαι, καὶ σύψεσι, καὶ μαλθακτηρίοις, καὶ πυρίῃ τῇ ἔξωθεν, καὶ ἐπιπλάσμασι, καὶ ἐς τὸ στόμα ἐγχείσμασι. περὶ δὲ τὸν κίονα ἢ τὴν σαφυλὴν ἔστω στύμμα, ῥοὸς χυλὸς, μέλιτι ἢ ὕδατι λυθεῖσα ἀκακία, ὑποκυστὶς, γῆ σαμίη, ἢ λημνίη, ἢ σινώπις, ἢ δὲ ὀμφάκιον. ἢν δὲ ἑλκώδης ἔῃ, κόμμι καὶ ἄμυλον δευθέντα ῥόδων ἢ φοινίκων ἀφεψήματι, ἢ πτισάνης ἢ τράγου χυλός. ἐπὶ δὲ τοῦ κίονος ἔστω πλέον τι τῶν εὐτονωτέρων, διὰ σμύρνης τε καὶ κόστου, καὶ κυπέρου. ἀνέχεται γὰρ τῶν δὲ τῶν δριμέων ὁ κίων. ἢν δὲ ἔμπυος ὅδε ὁ χῶρος γένηται μετ᾽ ἐξετέροισι, ἢ δὲ τὰ τῆς ὑπερῴης ὀστέα ἐφθάρη, καὶ ἐς μακρὸν φθίνοντες τὸν βίον ἐτελεύτησαν. τῶν δὲ μέντοι τὰ ἄκεα ἑτέρωθι λελέξεται.

ΘΕΡΑ-

apex teres

a tangit ex laqueo liberat a suffocatione

Col. melius quoad aliquid dein. a sup. Part. circumdentur Vinc. astr. extrem. Crur. supra a urgeat b. administr. At in Morbo qui cion dicitur c. Gummi intinctum c. Am. & Ros. d. valentiorum. med. ex Myrrh. &c ossa Palati putrescunt

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ φάρυγγα λοιμικῶν παθῶν, κεφ. θ.

ΠΗ μὲν ξυνὴ καὶ τῶνδε πρὸς τἄλλα πάθεα τὰ ἐν τοῖσι παρισθμίοισι ἰητρείη, τῇ δὲ ἰδίη. ἐπὶ φλεγμασίῃ καὶ ἀγχόνῃ, κλυσμοὶ, φλεβοτομίη, ἐγχρίσιες, ἐπιπλάσιες, πυρίη, διάδεσμοι, σικύη, πάντα ταὐτά· χρίσιες δὲ φαρμάκων δυνατωτέρων· οὐ γὰρ ἀρεμέει τὰ ἕλκεα, οὐδὲ ἐσχάραι γίγνονται ἐπιπολῆς· ἀλλὰ κἢν ἰχὼρ ἀπὸ τουτέων εἴσω σάξῃ, ὤκιστα μὲν ἑλκοῦται τὰ μέρη, κἢν ἀσινέα ᾖ· ὤκιστα δὲ εἰς τὸ εἴσω νέμεται καὶ κτείνει. πυρὶ μέν τι ὦν καίειν τὸ πάθος ἀρωγὸν, ἀλλ᾽ ἀξύνετον διὰ τὸν ἰσθμόν· φαρμάκοισι δὲ πυρὶ ἰκέλοισι χρέεσθαι, ἔς τε τὴν ἐπίσχεσιν τῆς νεμήσιος, ἀτὰρ ἠδὲ ἐς τὴν τῶν ἐσχαρέων ἔκπτωσιν. ἔστι δὲ στυπτηρίη ξὺν μέλιτι, κηκὶς, βαλαύστιον, ξηρὰ ξὺν μελικρήτῳ. τοῖσι δὲ αὐτοῖς καὶ ἐμφυσῆν καλάμῳ, ἢ πτίλῳ, ἢ καυλῷ παχέϊ, καὶ ἐπιμήκεϊ, ὡς τῶν ἑλκέων θιγγάνειν τὰ φάρμακα. ἄριστον δὲ καὶ χαλκῖτις ὀπτὴ, ξὺν καδμίῃ λείῃ ξὺν ὄξεϊ· ἔστω δὲ μοίρης διπλάσιον τῆς καδμίης, καὶ ἴριος ἡ ῥίζα ξὺν τινὶ ὑγρῷ. φυλάσσεσθαι δὲ χρὴ τῶνδε τὰς ἐπιθλίψιας· ὑγραίνει γὰρ τὰ ἕλκεα, καὶ ἐπὶ μᾶλλον νέμεται. χρὴ ὦν πτερῷ τὰ ξηρὰ καταπάσσειν· τὰ δὲ ὑγρὰ, ὑγρότατα ποιέοντα, ἐς τὸν γαργαρεῶνα ἐγχέειν. ἢν δὲ αἱ ἐσχάραι ἤδη τε ἀπολύωνται, τὰ δὲ ἕλκεα ἐρυθρὰ γίγνηται, κίνδυνος τότε μάλιστα σπασμοῦ. ἐπιξηραίνεται γὰρ ὡς ἐπίπαν τὰ ἕλκεα, καὶ τοῖσι δὲ τὰ νεῦρα ξυντείνεται. χρὴ ὦν γάλακτι ξὺν ἀμύλῳ, καὶ χυλῷ πτισάνης, ἢ τράγου, ἢ λίνου σπέρματι, ἢ τήλιος μαλθάσσειν καὶ ὑγραίνειν. μετεξετέροισι δὲ καὶ ἡ κιονὶς διεβρώθη, μέχρις ὀστέου τοῦ τῆς ὑπερῴης, καὶ τὰ παρίσθμια ἄχρι βάσιος καὶ ἐπιγλωττίδος, καὶ ἐπὶ τῇ ὠτειλῇ καταπίνειν, οὔτε στερεὸν, οὔτε ὑγρὸν ἠδύναντο. ἀλλὰ καὶ τὸ ποτὸν ἀνακο-

13. propter cicatricem

4 propter angustum locum faucium.

πλόμβον, ἀπέπνιξέ ποτε τὸν ἄνθρωπον λιμῷ.

ΘΕΡΑΠΕΙΑ ΠΛΕΥΡΙΤΙΔΟΣ,

κεφ. ι.

Οὐκ ἀμβολῆς καιρὸς ἐν πλευριτικοῖσι, οὐδὲ ὑπερθέσιος, ἢ μεγάλης ἐνδείης· ὅ τε γὰρ πυρετὸς κάτοξυς ἐὼν, ἐς ὄλεθρον ὁρμᾷ· ἥ τε ὀδύνη τοῦ ὑποζωκότος, ξυνεπείγει ἐπὶ τὸ κάκιον· ἀτὰρ καὶ βῆχες κλονέουσαι τὸν θώρηκα καὶ τὴν κεφαλὴν, ὑπολύουσι τὰς δυνάμιας. μάλιστα μὲν ὦν αὐτῆμαρ φλέβα τάμνειν· ἢν δὲ ἀπὸ πλήσιος σίτων καὶ ποτῶν ἔῃ, ἐπ' ἀσιτίης μίην ἡμέρην φυλάξαντα, ἀφαιρέειν ὑπ' ἀγκῶνος τῆς ἐν τῷ κοίλῳ φλεβὸς, τῆς μὴ κατ' ἴξιν τῇσι ἑτέρῃσι πλευρῇσι. κρέσσον γὰρ ἀπωτάτω ἄγειν. τὸ δὲ πλῆθος, μὴ μέχρι λειποθυμίης. περιπνευμονίην γὰρ ἐπιφοιτῆσαι κίνδυνος, ἢν τὸ σῶμα ἐπιψυχθὲν, τὴν ψυχὴν ἐκλείπῃ. εἴσω γὰρ τὰ ὑγρὰ ξυνθέει, τῆς ἐκτὸς ἀφαιρεθέντα θέρμης τε καὶ τάσιος. πνεύμων δὲ μανός τε καὶ θερμὸς, καὶ ἐς ὁλκὴν δυνατώτατος· πλευρῶν δὲ γειτόνημα, πνεύμων, καὶ κοινωνὸς ἀλγέων· ἀτὰρ καὶ αἱ τῶνδε διαδέξιες, οὐ μάλα περιγίγνονται. περιεσηκυῖα δὲ πλευρῖτις ἀπὸ περιπνευμονίης, εὐηθέστερον. χρὴ ὦν ἐπὶ ξυμμέτρῳ τῇ ῥοῇ τοῦ αἵματος μεσηγὺ τὸν ἄνθρωπον ξυλλέξαντα, αὖθις ἀφαιρέειν· εἰ μὲν οὖν ἔχοι, αὐτῆμαρ τῆς ἐπανέσιος μακρῆς γιγνομένης· ἢν δὲ μὴ, τῆς ὑστέρης· ἢν δὲ μηδὲ ὁ πυρετὸς ἐνδιδῷ· τὰ πολλὰ γὰρ μίην ἡμέρην ὁ πυρετὸς ἴσχει τε καὶ αὔξει· τῇ τρίτῃ ἐν τῇ δευτέρῃ ἐπανέσι ἀφαιρέειν, τῆσδε καὶ τὰ προσθέματα δοτέον, λιπαρῶς μὲν χρίσαντα ὅλον τὸν ἄνθρωπον· ἐπὶ δὲ τῇ πλευρῇ καὶ ἔλαιον θέντα μαλθακὸν ξὺν ἀλείφατι θερμῷ, πηγάνου, ἢ ἀνήθου ἀφεψήματος· καταιονεῖν δὲ τὸ πλευρὸν οὐ μάλα προσηνέως. μετεξετέροισι δὲ καὶ τὸ ἄλημα, καὶ ἡ

in Nares accurrens absumpsit

1. eod. Die Libus Operatu [illegible] uberrime [illegible] latus admodum leniter perfund. [illegible]

φλεγμασίη ἐξώκειλε, ὡς δοκέειν τῶν τῇδε τὸ πάθος εἶναι· τόδε ἐστὶ τῶν ἔνδον αὔξησις. Ῥοφῆς δὲ νῦν ὡς ἀμφὶ πάσης ἰητρείης ἔστω λόγος, ὡς μηδὲν ἐς ἁμαρτωλὴν εἴη. ἐν ῥοφῇ γὰρ κέεσται τὰ φάρμακα· ἀτὰρ καὶ τὰ φάρμακα ἐν ῥοφῇ. γίνεται μὲν ὦν θερμὴ καὶ ὑγρὴ, ἠδὲ λείη τε ὁμαλὴ, σμηγματώδης, διαλυτικὴ, λῦσαι, λεπτῦναι φλέγμα δυναμένη. Σιτίων μὲν ὦν ἁπάντων πτισάνη προκεκρίσθω· ἐν ἀρχῇ μὲν εἰς χυλὸν διηθημένη, ὡς τὸ στερεὸν αὐτέης διακεκρίσθαι, ξὺν μέλιτι πεπονημένη μοῦνον· πτισάνης δὲ τὰ ξυνήθεα ἐς ἡδονὴν καὶ ποικιλίην φάρμακα, ἀπέστω. νῦν γὰρ ἀρκεῖ ὁ χυλὸς μοῦνος· ἱκανὴ μὲν ὑγρῆναι τε θερμῆναι· δυνατὴ δὲ λῦσαι φλέγμα, καὶ σμῆξαι· ἄνω δὲ ἀνάγειν μὲν ἀπόνως, ὁκόσα ἀνάγεσθαι χρή· ὑπάγειν δὲ ῥηϊδίως τὴν κοιλίην. προσηνὲς δὲ τὸ λεῖον αὐτῆς, καὶ ἐς κατάποσιν εὔκολον· ἀτὰρ καὶ τὸ γλίσχρασμα θερμασίας πραΰνει, ὑμένας καθαίρει, πεπαίνει βῆχας, πάντα μαλθάσσει. αἵδε κριθῆς ἔασι ἀρεταί. δευτέρην δὲ χώρην ἔχουσι οἱ χόνδροι, ὀλίγουσι τοῖσι τῆς πτισάνης ἀγαθοὶ καὶ ἄριστοι ἐόντες. τὸ γλίσχρασμα γὰρ, τὸ λεῖον, τὸ προσηνὲς ἐς κατάποσιν ξυνόν· τὰ δ' ἄλλα πάντα μείους. πεποιήσθωσαν δὲ καὶ οἵδε ἁπλοῖ ξὺν μελικρήτῳ μούνῳ. ἀγαθοὶ δὲ καὶ τράγοι. κακίων δ' ἐπ' αὐτῶν ὄρυζα ξηρῆναι, βηχῶσαι, ἐπίσχεσιν, κάθαρσιν τῶν οὔρων μᾶλλον ἢ οὐρῆσαι· ἄριστος δὲ τε ἄρτος ξηρὸς κοπεὶς, κρησέρῃ σεσησμένος, εὔκριτος, εὔπεπτος, ξὺν μελικρήτῳ διαρκὴς ῥοφή. ἢν δὲ ἤδη μὲν προήκῃ ἡ νοῦσος, πρὸς δὲ τὰ σιτία ἀπαυδήκῃ ὥνθρωπος, πτισάνη μὲν ἐκ κριθῆς διδόσθω, λείη, καθεφθὸς· ἀρτύνηθεν δὲ ἔστω, καὶ ἅλες πτισάνης τὰ ὄψα, καὶ ἔλαιον λεπτὸν, ἄπιον, ἄγλισχρον, ἀβήχωτον· κρέσσον δὲ ξὺν τῇ πτισάνῃ, ὡς μὴ πολλὸν τοῦ ἐλαίου ἑψῆν. καὶ γὰρ πιονίζει τὸ ῥόφημα, καὶ τὴν κακίην τὸ ἔλαιον ὄλλυσι. οὐδὲ γὰρ ἐμφανὲς ἐπιγίγνεται τῇ πολλῇ ἑψήσει εἰς τὸν χυλὸν ἀναποθέν. ἔστω δὲ καὶ πράσον ξὺν τῇ κόμῃ, τε ἀμύ-

in exteriora prorumpit

Id, in interioribus mali incrementum quinetiam medicam. in cibo
1. [illegible]
2. detergens
3. extenuet
4. in Cremorem percolata
5. condita
6. efferre sursum
7. levit. grata
8. habitus
9. viscid. temperat cal.
10. [illegible]
11. hordei
12. Alica
13. Ptisana antecellit
14. ista condiatur
15. qui diluendo promovet
16. in cibum transmitt. tepid
17. satis alim.
18. fastidiat
19. probe cocta

20 condiatur 21. purum 22. pinguescere efficit sorbitio [illegible] pravitatem [illegible]
23. in Cremorem absorptum 24 Porrus.

δαλα πικρὰ ξὺν τῷ χυλῷ ἑψόμενα. εὔπνοον τε γὰρ καὶ φαρμα-
κῶδες ὑπὸ τῶνδε γίγνεται, καὶ τὰ περισσὰ βρωθῆναι ὑπὸ
τοῦ χυλοῦ ὀνησιφόρα καὶ ἥδιστα. ἤδη δὲ καὶ ὠῶν καιρὸς ἐγχύ-
λων. ἢν δὲ ὑγρὴ καὶ πολλὴ ἀναγωγὴ ἔῃ, θείου τοῦ ἀπύρου ἐμπασ-
σέσθω καὶ νίτρου. ἄριστον δὲ τῶν ἀρτιτόκων ὠῶν δοθῆναι ἐκ-
πυρὸς ἀπύρων. ἀπὸ γὰρ τῆς μητέρος ἡ θέρμη, ὑγροτέρη μὲν πυ-
ρὸς, οἰκειοτέρη δὲ τῷ νοσέοντι, ὅκως ἐκ ζώου ζώῳ. ἢν δὲ φλέ-
γμα κολλῶδες ἔῃ καὶ γλίσχρον, ἐς τὰ ὠὰ ἔλαιον ἐγχέειν, καὶ ῥη-
τίνης τῆς ξηρῆς τῆς ἀπὸ πίτυος ἐμπάσσειν, ὅκως τὸ θεῖον κρέσ-
σον εἴη, καὶ τῆς ἀπὸ τερμίνθου δὲ τήξαντα. καὶ πέπερι ὀνηϊστὸν, καὶ
ἐν ὠοῖς καὶ ἐν πτισάνῃ, καὶ ἅπασι τοῖσι ἐδέσμασι, καὶ ὁκόσα
πέπερι ξυνῳδά. κρεῶν ἀκρόποδες ἐν χυλοῖσι τακεροὶ, πέλει-
αι, ἀλεκτορίδες ἑφθαὶ, συῶν ἐγκέφαλοι, ὁπλαὶ μὲν σὺν τῷ ἐπι-
πλόῳ. αὐτὰρ δὲ τουτέου, ἄκνισοι. ἢν δὲ ἄκερχνος ἔῃ, δοτέον καὶ
θαλασσίων, ἢ πετραίων, ὅ,τι ἂν ἄριστον ἡ χώρη φέρῃ. ὡς δὲ μὴ
ἁμαρτάνῃ ἐπιθυμίῃ, μηδὲ σμύχηται ἐν τῇ λεπτῇ διαίτῃ ὁ νο-
σέων, χαρίζεσθαι ὀπώρης μήλων ἑφθῶν, ἐν ὕδατι ἢ μελικρήτῳ
ἢ στέατι ὀπτῶν. ἀφαιρέειν δὲ χρὴ τοῦ λέπεος, καὶ τῶν ἐντὸς βη-
χέων ξὺν τοῖσι σπέρμασι. ἐφ' ὥρης δὲ καὶ σύκων. ἀτὰρ καὶ τῆς
ἄλλης δοτέον, ὁκόσον ἂν ἡ ἀβλαβὴς ἡ ὀπώρη, ἀλλὰ καὶ ὀνηϊστός.
ἀμφὶ μὲν ὦν ῥοφῆς, τάδε. ἐπὶ δὲ τῷ πλευρῷ κέεσθαι χρὴ ἔρια
θυμιηθέντα θείῳ, λίπαϊ δεδευμένα, ἔνθα ἄνηθον ἕψηται ἢ πή-
γανον. ξυνεχὲς δὲ τουτέοισι τὸ πλευρὸν καταιονέειν, ἠδὲ ἐπι-
πλάττειν περὶ τῆς περιόδου πρὸς τοῖσι ξυνήθεσι πλάσμα-
σι, μελίλωτον ἑψηθὲν ξὺν μελικρήτῳ, ξυμμίσγοντα μήκωνος
τῆς κάρης ἀνεψημένης, καὶ μάννης ἄλητον ἐμπάσσειν. ἢν δὲ ὑ-
γροτέρη ἡ ἀναγωγὴ καὶ πολλὴ, αἴρης ἄλητον, ἢ ἐρυσίμου ξυμ-
μίσγειν, καὶ νίτρον ἐμπάσσειν. ἢν δὲ μῆκος ἤδη τῆς νούσου γί-
γνηται, καὶ τῆς ὀδύνης ἐγκεομένης, καὶ ὑγρῆς καθάρσιος γιγνο-
μένης, ἔμπυον μὲν ἐλπὶς τὸν ἄνθρωπον ἔσεσθαι. σίνηπι δὲ ξυμ-

pori. c Crem.
utiliter et jucund.
Oxymel
boni succi.
2. Sulph. ig-
nem non exper-
ti inspergit. 3.
Ova recent.a
ab ipso calo
re ex Matre
humid.r fami
liarior uno
anim. ex alio
4 glutinosa
Spit.a 5 res.
pineam
6. Res.a Terebi
liquata
7. Cibis
8. similia
inter Carnes
extremi Pedes
animal.m in
Crem. eligenda
-ti.
9 suis cerebr.m
tos sum c
amento, 10 Ni-
dous expers.
11. sine stridore spu: mittit 12 marini
Pisces, saxatiles 13. consumatur 14. ex
fruct. indulgere Pomis elix. aq. & Mell.
& adipe tostis Coria eximeno 15 imbuta 16
& fumig. Sulph. lana contegend. praeter soli
-ta cataplasm. exhante Cibi assumpt. 18 in-
cocta

19 Solii, Irionis par: a misc. d.a 20. exspectatio

μίσγειν καὶ κάγχρυς τοῖσι ἐπιπλάσμασι. ἢν δὲ καὶ ψυχρῶν τῶν τόπων ἔσωθεν τοῖσι κάμνουσι αἴσθησις γίγνηται, ὄξος παραχέειν. χρὴ δὲ ἐνεργὸν ποιέεσθαι ἐς πολλὸν τὴν θερμασίην τῶν ἐπιπλασμάτων διαρκέειν. κρέσσων γὰρ ἤδη καὶ ἡ θέρμη τῆς τῶν ἐπιπλασμάτων νεωχμώσιος. ἔστωσαν οὖν θάλψιες ἐν κυρβασίῃσι διὰ εἰδῶν, κέγχρου, λίπαος θερμοῦ τοῦ ἐν κύστεσι. κοῦφον δὴ ἔστω πᾶν μηχάνημα πυρίης, ὡς μὴ τὰ ἄχθεα πρὸς τῷ πόνῳ, πόνον ἐνδιδοῖ. τοῖσδε μέντοι καὶ ἐπὶ τῇ ἐσφῇ χρέεσθαι, ἢν ξυνεπείγῃ τὸ ἄλγος. ἤδη δὲ ἐπὶ τοῖσδε καὶ σικύης καιρὸς γένοιτο· ἄριστος δὲ ὁ μετὰ ἑβδόμην· πρόσθεν δὲ, μὴ ξυνεπειχθείης. οὐ γὰρ εὐήθεες αἱ νοῦσοι, ὁκόσαι πρὸ ἑβδόμης ἀπαιτέουσι σικύην. ἔστω δὲ μεγάλη, εὐρεῖα πάντη, ἀμφιέχειν τὸ ἀλγέον χωρίον ἱκανή. οὐ γὰρ ἔσω ἐνδιδοῖ τὸ ἄλγος, ἀλλ' εἰς εὖρος κέχυται. ἔστω δὲ καὶ ἡ ὑπὸ τῇ σικύῃ φλὸξ πολλή. ὡς μὴ μοῦνον ἑλκύσαι, ἀλλὰ καὶ ἀλεῆναι πρὸ τῆς ἀποσβέσιος τοῦ πυρός, καὶ μετὰ τὴν ἀπόσβεσιν ἀποδάσαντα, ἀφαιρέειν αἷμα, ὁκόσον ἂν ἡ δύναμις παρείῃ. πολλὸν δὴ ἔστω πλέον ἢ εἰ ἀπ' ἄλλης προφάσιος ἀπὸ τῶν ὑποχονδρίων ἀφαιρέοις αἷμα. ἐπιδηλοτάτη γὰρ ἐπὶ τῶν πλευριτικῶν ἡ ἀπὸ σικύης ὠφέλειη. ἅλες δὲ ἢ νίτρον ἐπὶ τοῖσι χάσεσι, δηκτικὸν μὲν καὶ ἀλγεινόν, ὑγιεινὸν δέ. ἀλλὰ ξυντεκμαίρεσθαι τὰς δυνάμιας, καὶ τοῦ ἀνθρώπου τὸν τρόπον. ἢν γὰρ ἀλκήεις τὴν ψυχὴν καὶ καρτερὸς ἔῃ, ἐμπάσσειν τῶν ἁλῶν, μὴ αὐτοῖσι τοῖσι ἕλκεσι ὡς αὐτέων ψαύειν, τῇ δὲ ὀθόνῃ ἐπιπάσσειν δεδευμένῃ τῷ λίπαϊ, ἢ δὲ ἐπιπεπάσθαι τῷ χωρίῳ. οἱ γὰρ ἐκ τῆς συντήξιος ἰχῶρες, τῶν ἁλῶν εἰσὶ ἀδηκτότεροι. πολλὸν δὲ τοῦ λίπαος καταιονέειν χρή, ὅκως τῷ προσηνεῖ τοῦδε ἀμβλύνῃ τὸ ἄλγος τῆς δήξιος. δευτέρῃ δὲ ἡμέρῃ, ἄμεινον τὴν σικύην προσβάλλειν, ὡς ἐκ τῶν τρωμάτων ἕλκηταί τις λεπτὸς ἰχώρ. τόδε, πολλὸν μὲν τῆς ἐπίπροσθεν σικύης αὐξιμώτερον· πολλὸν δὲ τῆς δυνάμιος φυλακτικόν.

1 affund. 2 renovationi adhib. calefact. e sacculis in ... 3. a pondere 4. urgeat 5. dolor in lati[tudinem] diffunditur 6 flamma 7. ad calefaciend. ... 8 scarific. 9. scarificationib. 10 mores 11 spatiis ... 12. ped... 13 extend. in ...

14. ... a Salis ligaturis minus q̃m ipsa ipse mordaces 15 mordacit. e tabo postero die minus lene. accomod. 17. adjutamentum probet.

τερον. οὐ γὰρ αἷμα, ἢ τροφὴ, ἀλλ' ἰχὼρ ἐκρέει. καὶ τόδε μέν-
τοι προδιακρινήσαντας ἀμφὶ τῆς δυνάμιος πρήσσειν. τῇ τρίτῃ δὲ
κηρωτὴν ξὺν τῷ κυπρίνῳ ἢ πηγανίνῳ ἐπιθεῖναι. ἢν δὲ ἔτι καθάρ-
σιος τὰ σπλάγχνα δέηται, τοῖσι κηρώμασι ῥητίνης ξυντήκειν, ἢ
τοῦ θείου τοῦ ἀπύρου ξυμμίσγειν. καὶ αὖθις πυρίην τὸ χωρίον
ἔχειν. ὡς τρόπος δὲ σικύης, ἔχειν ὧν χρὴ κεραμεοῦν κοῦφον
ἁρμόζον τῇ πλευρῇ, εὐρὺ, ἢ τὸ χάλκεον, περιωπὲς ἐπὶ τὰ χεί-
λεα ἀμφιθεῖναι τοῖσι ἀγγέοισι. ὑποτιθέναι δὲ φλόγα με-
γάλην ξὺν λίπαϊ, ὅκως ζῶσα ἐς πολλὸν διαρκέῃ χρόνον. μὴ
προσσφίγγειν δὲ τὰ χείλεα πρὸς τῇ σαρκὶ, ἀλλ' ἐς διαπνοὴν
διαδοχή τις ἔστω, ὡς μὴ διασβεσθείη τῇ πνιγί. ἐς πολλὸν δὲ
ἐξάπτεσθαι ἔνι. ἡ γὰρ ἔνδον ἐκείνου θέρμη, ἄριστον μὲν πυρί-
ημα, ἀγαθὴ δὲ πρόκλησις ἱδρώτων. χρὴ δὲ μηδὲ τὴν κάτω
ἐκτρέπειν ὑποφορὴν, ἀνδράσι μὲν ἐς τὸ ἔντερον πηγάνινον ἔ-
λαιον ἐγχέοντα· γυναιξὶ δὲ, καὶ ἐς ὑστέρην. εἵνεκα δὲ τὰ
πινόμενα καὶ καταποτὰ ἔστω, μελίκρητον ξὺν τῷ πηγάνῳ, ἢ
χυλῷ πτισάνης ἣν ξυνεχὲς βιάσῃ, ὡς ἐν τροφῇ φάρμακον. ἢν
δὲ μὴ τροφῆς καιρὸς ἔῃ, ἔστω δή τι καὶ τῶν ποικίλων πινέειον
ξὺν μέλιτι ἑψητὸν ἐς σύστασιν. τὰς δὲ χρὴ σφαίρας μέγεθος
ὅσον κυάμου, στρογγύλας οὔσας διδόναι ὑπὸ τὴν γλῶτταν ἔχειν
διαφέροντα τῇδε κἀκεῖσε, ὡς μὴ καταποτὸν, ἀλλὰ τηκτὸν ἔῃ.
προσηνὲς δὲ καὶ τὸ διὰ τῆς μήκωνος ξὺν μέλιτι ἢ μελιλώ-
τῳ φάρμακον λεῖον καὶ ὑπνικόν. τάδε μέντοι καὶ περὶ τῆς ἀρ-
τίος, καὶ ἐπ' αὐτέῃ, καὶ ἐπὶ τῷ ὕπνῳ διδόναι· ἀσίτῳ δὲ, τὰ
φαρμακώδεα, κνίδης καὶ λίνου τοῦ σπέρματος, καὶ ἀμύλου, ἢ
κώνου τοῦ κοκκάλου λείου ἑκάστου κύαθον, καὶ ἀμυγδάλων
τῶν πικρῶν πέντε ἢ εἴκοσι τὸν ἀριθμόν· τόσοι δὲ καὶ πεπέριος
κόκκοι. φωχθέντα δὲ χρὴ λεῖα μέλιτι ἐς ἀνέκλειγμα φυρῆσαι·
τῶν δόσις μυστίλη μίη. ἢν δὲ ὑγρὰ καὶ ἄπεπτα ἀνάγῃ, σμύρ-
νης ὁλκῆς < δύο· κρόκου μίη, πεπέριος κόκκοι δεκαπέν-

τε, μέλιτι φυρῆσαι λίτρα μίη. τόδε μέντοι ἤδη τὸ φάρμακον, καὶ περὶ τῆς ἄρσιος δοτέον μυστίλης ἥμισυ. ἀγαθὸν τόδε ἐπὶ τοῖσι χρονίζουσι, οὔτε καὶ ὀξύμελι διδόναι χρὴ, ἢν δυσέκπνοια ξυνεπείγῃ. ψυχρὸν δὲ ὕδωρ ὁκόσοι τῶν ἰητρῶν τοῖσι πλευριτικοῖσι ἔδοσαν, οὔτε ὁκοίῳ λόγῳ ξυμβαλέειν ἔχω, οὔτε τῇ πείρῃ πιστώσασθαι. εἰ γάρ τινος ἀπὸ ψυχροῦ διήλλαξαντο τὸν κίνδυνον, οἵδε μοι οὐκ ἐδόκεον εἶναι πλευριτικοί, ἀλλὰ καὶ τοῖσι παλαιοτέροισι ἰητροῖσι ἰδέη τις ξυνδρομῆς πλευρῖτις ἐκικλήσκετο, χολῆς ἐκκρίσιος * ἐὼν ξὺν πόνῳ πλευροῦ ἐπὶ σμικρῷ πυρετῷ, ἢ καὶ ἄνευ πυρετοῦ. τόδε μέντοι τὸ πάθος, οὔνομα μὲν πλευρίτιδος, τὸ δὲ πρῆγμα οὐκ ἴσχει· ἀλλὰ καὶ πνεῦμά κοτε ξυνίσταται ἐν πλευρῷ, δίψαν ἐνδιδοῖ, καὶ ὀδύνην πονηρὴν, μαλθακήν τε θέρμην· καὶ τόδε ἐκάλεσαν αὖθις αἴδριες πλευρῖτιν. ἐπὶ τῶνδε ὧν ὕδωρ ψυχρὸν ἄκος αἱ γίγνοιτο εὐτυχίῃ τοῦ χεομένου· ἐσβέσθη μὲν αὖ τὸ δίψος, ἡ δὲ χολὴ καὶ τὸ πνεῦμα ὑπηλάθη, καὶ διέπνευσε τὸ ἄλγος καὶ ἡ θέρμη· ἐπὶ δὲ φλεγμασίῃ πλευροῦ, καὶ τοῦ ὑπεζωκότος φρίσι, οὐ μόνον ὕδωρ ψυχρὸν, ἀλλὰ καὶ ἀναπνοὴ ψυχρὴ, κακόν. ἢν ὦν ἐκ τῆς περίθεν ἰηξείης περιγίγνωνται οἱ πλευριτικοὶ, ἔπι δὲ βραχία βήσσωσι, καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἴσχῃ, σπεύδειν χρὴ διαλύειν τάδε· ἢ γὰρ ὑποστροφὰς ποιέει τὰ ἐγκαταλιμπανόμενα, ἢ ἐς ἐμπύησιν τρέπεται.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

ὀξέων νούσων θεραπευτικὸν βιβλίον δεύτερον.

ΘΕΡΑΠΕΙΑ ΠΝΕΥΜΟΝΙΗΣ,

κεφ. α.



Αρτα ὀξὺ καὶ ἐπίκαιρον κακὸν φλεγμασίη καὶ πρῆσις τοῦ πνεύμονος, ἐφ' οἷσι πνὶξ ὀλιγοχρονίη. χρὴ ὦν ἀντίξοα, ἠδ' ὠκέα ἔμμεναι τὰ ἀλεξήματα. τάμνειν αὐτίκα τὰς ἐπ' ἀγκῶνι φλέβας· εἶτ' ἀμφὼ ἅμα ἐπὶ δεξιὰ καὶ ἀριστερὰ μᾶλλον, ἢ ἐκ μιῆς μέζονος· ὡς ἀφ' ἑκατέρης τῆς χώρης τοῦ πνεύμονος ἡ ἀντίσπασις τῶν ὑγρῶν ἔη, μὴ μέσφι λειποθυμίης. προσεμφερὴς γὰρ τῇ πνιγὶ ἡ λειποψυχίη. ὅμως κἢν σμικρὸν ἀναπνεύσωσι, ἐπισχόντα

vehemens tumor auxilia ferenda parsa natura

utraq. Parte revuls. conspirat

q Eq. a malo paululum respiraverint

[illegible] flux: oportet & denuo detrahere.

χρὴ τὴν ῥοὴν αὖθις ἀφαιρέειν. ἢν γὰρ ἐξ αἵματος αἱ προφάσιες ἔωσι, αὐτὴν τὴν αἰτίην ἡ φλεβοτομίη ἄγει· ἢν τε φλέγμα, ἢ ἀφρὸς, ἤ τι ἄλλο τῶν ὑγρῶν πορήσῃ, αἱ τῶν φλεβῶν κενώσιες εὐρυτέρην τὴν τοῦ πνεύμονος ποιέουσι χώρην ἐς διόδον τῆς ἀναπνοῆς. χρὴ δὲ καὶ κάτω ἄγειν ὑγρὰ καὶ φύσας, ἐπὶ μὲν φλεβοτομίης διαχρίοντα τὴν ἕδρην λίτρῳ, μέλιτι, πηγάνῳ, ῥητίνῃ τῇ ἀπὸ τῆς τερμίνθου τῇ ὑγρῇ· αὐτίκα δὲ τῆς φλεβοτομίης, εἰ μέζων ἡ κόλλησις ἔοι, ὑποκλύζειν χυλῷ δριμέϊ, δισσὰ μὲν πρὸς τῷ λίτρῳ· ἡ ῥητίνη δὲ τῆς τερμίνθου ξὺν τῷ μέλιτι· πήγανον δὲ ἐν τῷ ἐλαίῳ, καὶ ὕσσωπον ἐν τῷ ὕδατι ἑψηθέντα, καὶ κολοκύντης δὲ τῆς ἀγρίης αἱ σάρκες αἱ εἴσω ἑψηθεῖσαι ξὺν ὕδατι, ἄρισται· σικύαι κοῦφαι ἐς τὰ μετάφρενα καὶ τὸ νῶτον, καὶ τὰ ὑποχόνδρια ταύτῃ ξύμφοροι. ἢν δέ πως ὁ θώρηξ εὔσαρκος ἔῃ, ὅκως μὴ ἀμφὶ τοῖσι ὀστέοισι τὸ δέρμα ἡ σικύη ἀμφιθλάσσοι ἐρείδουσα, καὶ τῷδε προσβάλλειν. ἢν γὰρ ταύτῃ τοῦ σώματος τά τε ὑγρὰ ἐφέλκωνται, καὶ τὸ πνεῦμα ἔξω ἐκταίνηται, οἷσι γὰρ ὁ πνεύμων πνίγεται, ἀνάπνευσις ἂν γίγνοιτο τοῦ κακοῦ. ταύτῃ γὰρ πολιορκέειν χρὴ τὴν περιπνευμονίην. ἀτὰρ μηδὲ τῶν διὰ στόματος ὠφελεόντων φαρμάκων ὑποφορὴν μηδέν. ἕλκει γὰρ ὁ πνεύμων καὶ ἐν ὑγιείῃ ὑγρὸν, καὶ ἢν νοσῇ. φαρμάκων διδόναι ὧν, ὁκόσα λεπτύνει τὰ ὑγρὰ ἐς διαπνοὴν, ἠδὲ ὀλισθηρὰ καὶ εὔροα ἐς ἀναγωγὴν τεύξει· πίνειν μὲν ἐς τάχος τῆς ὠφελείης, λίτρον ξὺν ὑσσώπου ἑψήματι, ἢ ἄλμην ξὺν ὄξεϊ, καὶ μέλιτι, ἢ σίνηπι ὑγρὸν ξὺν μελικρήτῳ· ἐμπάσσειν δὲ ἑκάστῳ καὶ τῆς ἴριδος τῆς ῥίζης, καὶ πεπέριος εὔτολμον· ἀτὰρ καὶ τάδε ξηρὰ σήσαντα ξὺν μέλιτι διδόναι. ἢν δὲ ἄϋπνοι ἔωσι δι' ἡμέρης, ἠδὲ ἐγρηγόρωσι πάννυχοι, δέος μὴ ὁ ἄνθρωπος μανῇ, καὶ ποικίλων φαρμάκων ὑπνωτικῶν χρέος, ἢν μή τι ἐνδιδῷ ἡ νοῦσος, ὅκως καὶ τὴν ταλαιπωρίην ὁ τῶν φαρμάκων καιρὸς εὐνάσῃ. τὰ πολλὰ γὰρ γίγνεται καρώδεα. ἢν δὲ ἐν ἀκ-

tollit spuma amplius [illegible] spat[illegible] ad transitu[illegible] 2 se[illegible] illinend[illegible] nitro. 3. impe[illegible] 4. tot. [illegible] 5 tergo. 6. quo minus contra ossa [illegible] attera[illegible] inhaeres [illegible] = [illegible] 7. protrah[illegible] 9 ex omni part. oppugnanda. 10 ex ten[illegible] ad [illegible] pirand[illegible] qua [illegible]

: los et glaucos effic. ut educi pos-
11. [illegible] 12. proficiat 13. cribro
transmissa, 14 periculum ne [illegible]
[illegible] 15. ut opportune data
mali [illegible] 16. somnu[illegible]

μὴ τῆς πνιγὸς, καὶ ὑπὸ τῷ ὀλέθρῳ φάρμακον διδοὺς, θανάτου ἂν εἴης παρὰ τοῖσι δημότῃσι αἴτιος. χρὴ δὲ καὶ τὰ σιτία ἴκελα ἔμμεναι, δριμέα, λεπτὰ, διαλυτικὰ πάχεος, σμηγματώδεα· λαχάνων πράσον, ἢ κορωνόπους, ἢ κνίδη, ἢ κράμβη ἐν ὄξει ἑψηθεῖσα· αὐστηρὸν δὲ, πτισάνης ὁ χυλὸς τῆς ὀριγάνου, ἢ ὑσσώπου προσλαβὼν, ἢ δὲ πεπέριος, καὶ λίτρου πλεῖον ἀντὶ τῶν ἄλλων· χόνδροι ξὺν μελικρήτῳ καθεφθοί· ἄφυσα δὲ πάντα ἐν τῇ ἑψήσει ἔστω. κακὸν γὰρ περιπνευμονικοῖσι φῦσαι. οἶνος ποτὸν, ἢν ἄπυροι ἔωσι, μὴ πολλόν τι τῆς στύψιος ἔχων. πυκνωτικὸν γὰρ σωμάτων ἡ στύψις. χρὴ δὲ τουτέοισι ἀραιοῦν μὲν τὰ μέρεα μᾶλλον· πολλὸν δὲ ἄγειν τὰ πτύελα· τὸ ξύμπαν δὲ, ὀλίγον ἔστω ποτόν· πνεύμονι γὰρ τέγξις κακὸν, οὕνεκεν πνεύμων ἀπὸ στομάχου ἕλκει καὶ κοιλίης. θώρηξ δὲ ἐσκεπάσθω εἰρίοισι ξὺν λίπαϊ καὶ λίτρῳ, ἢ ἁλσί. ἄριστον δὲ χρῖσμα, τὸ διὰ τῆς λημνίστιδος. σίνηπι ξηρὸν, ξὺν κηρωτῇ ὑγρῇ, καὶ τὸ ξύμπαν ἔξω ἄγειν, καὶ ὑγρὰ, καὶ θερμασίην, καὶ πνεῦμα. ἀρήγει καὶ ὄσφρησις δριμέων, χρίσιες, ἄκρων δεσμός. τάδε μέντοι ποιέοντι, ἢν μὴ εἴκῃ ἡ νοῦσος, ἀνέλπιστος ὁ ἄνθρωπος.

ΘΕΡΑΠΕΙΑ ΑΙΜΑΤΟΣ ΑΝΑΓΩΓΗΣ, κεφ. β.

Πᾶσαι δὲ αἱ ἐξ ἀναγωγῆς αἵματος οὐκ εὐήθεες, οὐ τοῦδε τοῦ τρόπου μούνου, ἢν ἐκ ῥήξιος ἢ διαβρώσιος, ἀλλὰ κἢν ἀραιώσιος φέρηται· οὐδ᾽ ἢν ἀπὸ θώρηκος, ἢ πνεύμονος, ἢ στομάχου, ἢ ἥπατος, τῶν κινδυνωδέων· ἀλλὰ κἢν ἀπὸ κεφαλῆς ἢ ἀσινέστερη. αἵματος γὰρ ἡ φορή· αἷμα δὲ πάντων τροφή· πάντων δὲ θέρμη, πάντων δὲ χροιή· καὶ φοβερὸν μὲν ἰδεῖν διὰ στόματος ὁκωσοῦν ῥέον· κακὸν δὲ, ἤν τε ἀπὸ σπλάγχνου καιρίου· κάκιον δὲ, ἢν ἐκ ῥήξιος καὶ διαβρώσιος. χρὴ ὦν τὸν ἰητρὸν τοῦ πά-

a occurrere festinanter & diligens
eo cubiculum planum et firmum

θεος ξυνεπείγειν μᾶλλον ἀρήγοντα. καὶ πρῶτον μὲν ψυχρότερον αἱρέεσθαι ἠέρα ἐς ἀναπνοίην, οἶκον ἐπίπεδον, κλίνην ἑδραίην ὅκως μηδὲν σείηται. ἐρεθιστικὸν γὰρ αἱ σείσιες. κοίτη δὲ στερεὴ, μὴ κάρτα εἴκουσα, μηδὲ βαθέη, ἄθερμος· ὄρθιον δὲ τὸ σχῆμα· ἡσυχίη λαλιῆς ἠδὲ ἀκουσμάτων· ψυχῆς ἀταραξίη, εὐθυμίη. πάγχυ δὲ τοῖσι τοιούτοισι ξυμμαρτέει δυσελπιστίη. τίς γὰρ ἐμέων αἷμα, θάνατον οὐκ ὀῤῥωδέει. ἢν ὦν πολύαιμοι καὶ ἐπίφλεβοι ἔωσι, ἐπὶ πάσῃ ἰδέῃ ἀναγωγῆς τάμνειν φλέβα· ἤν τε γὰρ ἐκ ῥήξιος, ἢ διαβρώσιος, εὐάρμοστος φλεβοτομίη, ἤν τε ἐπ᾿ ἀραιώσει, δέος μὴ ἀποῤῥήξῃ τὸ πλῆθος· τάμνειν δὲ τὴν ἐπ᾿ ἀγκῶνι κοίλην· εὔροον τε γὰρ τὸ αἷμα τῇδε· καὶ καταλάζεσθαι ῥηϊδίη, καὶ ἐς πλεῦνας ἡμέρας ῥέειν ἀσινέως εὔστομος. ἐπὶ πᾶσι δὲ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν κατὰ σπλάγχνων ὁδὸς ἠδὲ αἵματος. ἡ δὲ ἀνωτέρη τῆσδε καὶ ἥδε, ἀποσχίδες ἔασι μιῆς τῆς ἀπὸ τοῦ βραχίονος ἄμφω· ὥστε οὐδένα μέζον ἡ ἀνωτέρω τῆς μέσης ἐς ὄνησιν ἰέναι. ἀΐδριες γὰρ τῶν ἀποσχισίων, ὅσοι στομάχῳ καὶ ἥπατι ξυνῆψαν τὴν ἄνω. ἢν δὲ ἀπὸ πνεύμονος ῥέῃ, τάμνειν τῆς ἀριστερῆς χειρὸς τὴν μέσην δακτύλων μικροῦ τε καὶ παραμέσου. τὴν δὲ γὰρ τῶν ἰητρῶν μετεξέτεροι δοκέουσι ἐπὶ σπλῆνα κραίνειν· ἀτὰρ καὶ ἥδε τῶν ἐπ᾿ ἀγκῶνι τῆς κάτω ἐστὶ ἡ ἀπόσχισις. τῇ ὦν πλέονι πρὸς τοῖσι δακτύλοις, καὶ μὴ ἐπ᾿ ἀγκῶνι τάμνοι τις αὐτέην. μείζων γὰρ τῇδε καὶ εὔροος. τὸ ξύμπαν μὲν ὦν πρόσω λειποθυμίης ἐπισχεῖν· ἀτὰρ μηδὲ πολλὸν ἀφαιρέειν. ἱκανὴ γὰρ καὶ ἡ αἱμοῤῥαγίη κενῶσαι τὸν ἄνθρωπον. ξυνεχὲς δὲ καὶ ἀπὸ σμικρῆς ἀφαιρέσιος ἐπαφαιρέειν, καὶ αὐθημερὸν, καὶ τῆς ὑστεραίης, καὶ ἐπὶ τῆς ὀψίης ὑστέρης. ἢν δὲ ὁ ἀσθενέων ἰσχνὸς καὶ λείφαιμος ἔῃ, μὴ τάμνειν φλέβα. τάδε μὲν ὦν ἀμφὶ ἀφαιρέσιος αἵματος. ἀρήγειν δὲ καὶ δεσμοῖς ἄκροις ποδῶν μὲν ὑπὲρ σφυρὰ, καὶ γούνατα· χειρῶν δὲ ὑπὲρ καρπὸν καὶ βραχίονα· ταινίῃ πλατείῃ, ὅκως

e conquassatur
f. strata solida
non cedentia
et profunda
aut calida
corpus erectum
quies hilaritas
comitatur
horrescat
Ven. castantes
conducit
g metuend. ne
copia Ven. rump.
Sectioni exposit.
h. sine periculo
aperta servatur
i. qua hac sup.
& hac propa-
gines s. unius
Vena in brachio
ambo, quo fit
ut nihilo magis
superior juvat, q̃m
hanc inscipere
ignari s. prop.
qui adnect.
l. a liene
K. at a anulari
L. pertinere
m. inf. Ven. cub.
ibi prop. ipsa
corrigitur hanc
propediscitos

potius q̃m ... n. ipsa p. ... ipsius. Venae satis
convellit; ap idem tamen postq. paulum de
trax. iterum detrahito. o. sang. inops
sit aeger. p. ipsa fascia lata sint, quo
validior fiat, neq. dolorem moveat constric-
tio.

ἢ διάσφυγξις κραταιὴ μὲν ᾖ, ἄλγος δὲ μὴ φέρῃ. τοῖσι δὲ αἱμορραγέουσι χωρίοισι ἐπιβάλλειν χρή, ἔρια μὲν πινόεντα οἰσύπῳ ἀπὸ τῆς οἰός· τέγγειν δὲ χυμῷ, οἴνῳ αὐστηρῷ, καὶ ῥοδίνῳ, ἢ μυρσίνῳ λίπαϊ. ἢν δὲ ξυνεπείγῃ ἡ αἱμορραγίη, αὐτὴ μὲν τῶν ἐρίων, σπόγγοισι χρέεσθαι· ὄξεϊ δὲ αὐτὴ τοῦ οἴνου. ὑπαλειφέσθω δὲ μυρσίνῳ τὸ χωρίον· ἐπὶ πᾶσι δὲ τοῖσι σπόγγοισι τῆς ἀκακίης, ἢ ὑποκυστίδος ξηρῶν τῶν χυλῶν, ἢ καὶ ἀλόης. ἄρειστον δὲ καὶ τὸ ὀμφάκιον ὄξεϊ λυθέν. ἢν δὲ ἡ τέγξις ἄστηρον ᾖ καὶ διάφορον, ἐμπλάστροισι χρέεσθαι. καὶ γὰρ τὸ δέρμα περιτείνουσι, καὶ οἷον τῇ χειρὶ κρατέουσι. ἀτὰρ καὶ αἱ δυνάμιες αὐτέων ψύξαι καὶ ξηρῆναι δυνατώταται· μυρίαι δὲ καὶ ἄλλοισι ἄλλαι πειρηθεῖσαι πισταί. ἄρισται δὲ ὁκόσαι ὄξος ἴσχουσι καὶ ἰτέης φύλλων χυλόν, ἠδὲ καὶ ἄσφαλτον, καὶ ἰόν, καὶ στυπτηρίην, καὶ λιβανωτόν, καὶ σμύρνην, καὶ χαλκὸν κεκαυμένον, καὶ λεπίδα, καὶ ὁκόσαι τοιαίδε. ἐπὶ τοῖσι ἐμπλάστροισι, ἢ ἔρια τὰ πινόεντα, ἢ οἱ σπόγγοι ἐν βραχέϊ δευθέντες ὄξεϊ. ἢν δὲ τιμωρέωσιν τῶν ἐμπλάστρων μὴ φέρωσι, ἐπίθεμα ποιέειν· φοίνικες οἱ πίονες ἐν οἴνῳ μέλανι αὐστηρῷ δευθέντες, ἐς μάζαν τρίβονται· ἔπειτα ἀκακίη ἐμπάσσεται λείη, καὶ σίδια· ἐγχειαθέντα δὲ ἐς βύχιον, κατὰ τοῦ θώρηκος τίθεται. ἄλφιτα οἴνῳ ἢ ὄξεϊ δευθέντα, ἠδὲ φακῆς ἄλιτον λεπτόν, κρησέρῃ σεσησμένον, κηρωτῇ ῥοδίνῳ μύρῳ ἀναλαμβάνοντα ἐπιτιθέναι· μίσγειν δὲ καὶ συμφύτου τῆς ῥίζης σεσησμένης. Ἄλλο. βραβύλων ἀγρίων ῥίζας ἑψῆν ἐν ὄξεϊ, καὶ τρίψαντα ἐς μάζαν, παραμίσγειν ῥοὸς καὶ κόμμιος, καὶ μυρσίνης βραχύ. τῶν δὲ μέντοι γε ἄλλα ἄλλοισι ξυμμίσγειν, ὅκως ἂν ἰσχύος τῆς τῶν φαρμάκων καὶ προσηνείης καὶ ὀσμήσιος δέηται. χρὴ γὰρ καὶ τοῖσι κάμνουσι χαρίσασθαι. τάδε μὲν ἐκτὸς [illegible]ετὰ ἄκη· ἡ δὲ τῶν δὲ κοιλιωτέρη ἴησις, ἐν τοῖσι ποτοῖσι καὶ καταποτοῖσι κέεται, ὡς ἄγχιστα τῶν τετρωμένων εἴη τὰ φάρμακα. τελευτὴ δὲ τουτέων ἡ ἰδέη, ἢ τοὺς ὀχετοὺς τοῦ ῥόου δῆσαι

loc. a quib. Ham. impon. lanas ab Ove succidas Ol. rosac. myrt. 2. ing. 3. inung. Ol. Myrt. spong. omn. insperg. succus Acac. & 4. molesta Perfus. 5. quasi 6. astring. 7. moleste. 8. qua ex comp. succo salicis fol. bitum. aerug. alum. thus myrrh. aes comb. squama hujus. Epith. Palm 9. in placentam 10. insperg. c mali corticis Pannicula vel illita 11 farina 12. Pollinem cribrato tenui

Al. Brabyl. sylv. rad. in aceto cocto & in plac. contrit. rhi. gum. myrti paul. admisc. alia aliis pro med. vi lenit. od. aegrot. gratiss. rem. extrinsecus admovenda

ξυναγωγῇ καὶ πίεσι τῶν ἀγγείων, ἢ τὸ ῥέον παχῦναί τε καὶ πῆξαι ὡς μὴ διαῤῥέῃ, κἢν διαπέμπωσι οἱ ὀχετοὶ, ἢ ξηρῆναι τὰς ἐφόδους πρὸς ἕδρην τὴν ἀρχαίην τὸ αἷμα στήσαντα, ὅκως μὴ τῇ ἐπιῤῥοῇ κενεόμενοι οἱ χῶροι περισμυρέωσι· πλημμυρῶσι δὲ ἔνθα ἡ ξυνόδοσις. ἐπὶ μὲν τῆς ἀραιώσιος τῶν φλεβῶν, ἡ στύψις ἀρκέει. διαῤῥέει γὰρ ὡς ὑδρεῖον νέον οὐδὲν τῇσι ἀραιώσεσι. ἀτὰρ ἤδε ἐπὶ τῇσι διαιρέσεσι, στύψις μὲν ἰητρεῖν ἐς τὴν ξυναγωγὴν τῶν χειλέων· μέζοσι δὲ καὶ δυνατωτέροισι τοῖσι φαρμάκοις χρέεσθαι. ἢν δὲ ὁ τῆς διαβρώσιος ἔῃ τρόπος, καὶ μὴ ξυνάγηται ὑπὸ τῆς στύψιος τοῦ ἕλκεος τὰ χείλεα, σεσήρῃ δὲ τὸ τρῶμα, ἀξύμβατον ἐκ τῆς διαθλίψιος ἐὸν, πῆγον χρὴ τοῦ αἵματος· ἀτὰρ ἤδε τῆς θέρμης πιέειν. ἀκινησίῃ γὰρ τῶνδε καὶ πῆξι ἵσταται ὁ ῥόος. ὀξύκρητον μὲν ὦν τοῖσι ἀραιοῖσι ἱκανὸν ἐς στύψιν. οὐδὲ γὰρ οὐδὲ αἷμα ἄκρητον ἐστὶ τὸ ῥέον, ἀλλὰ τοῦδε ἰχὼρ διὰ σμικρῶν τῶν στομίων· καὶ τοῦδε οὐ πολλοῦ, οὐδὲ πολλάκις χρέος· μετεξετέροισι δὲ καὶ ἡ ἔξωθεν ἰητρείη· ἀτὰρ καὶ φοινίκων, ἢ κεράτων ἐδωδίμων ἕψημα ποθὲν μοῦνον ἤρκεσε. ἔστω δὲ τὸ ὄξος, οἴνων μὲν τῶν στυφόντων τῇ φύσει, εἰ μὴ φαρμακίῃ δὲ, ἀλλὰ τῷ χρόνῳ δριμύ τε καὶ στῦφον. ἐπὶ δὲ τῇσι διαστάσεσι τῶν τρωμάτων πρὸς τῷ ὀξυκρήτῳ ἔστω φάρμακα ἁπλᾶ τὴν πρώτην, ἀρνογλώσσου χυλὸς ἢ πολυγόνου, ἢ στέλιδος, ἑκάστου μοίρη πρὸς τῷ ὀξυκρήτῳ· ἢν δ' ἐπὶ μᾶλλον ῥέῃ, ὑποκυστίδος ἢ ἀκακίης ξηρῶν ἐμπάσσειν ἐς γ κυάθους τοῦ ὀξυκρήτου ὁλκῆς, τῆς δὲ δραχμὴν μίην. ἄριστος δὲ καὶ χυλὸς ὄμφακος. ἢν δὲ κρέσσον ἡ ξυμφορὴ τῷδε γίγνηται, κηκίδα λείην, καὶ βάτου ῥίζαν ξηρὴν, καὶ λίθον τὸν ἐξ ἁλὸς κουράλλιον λείην ξηρὴν ἐμπάσσειν. δυνατωτέρη δὲ τῶνδε τὸ ῥοῖον ἡ ῥίζα, ἐμψύξαι, ξηρῆναι, στύψαι, τὰ πάντα ποιῆσαι· ἀτὰρ καὶ ἥδε ξὺν τῷ ὀξυκρήτῳ μούνῳ. ἢν δὲ μεζόνων ἀρήγειν χρέος, τοῖσι χυλοῖσι τοῦ στέλιδος ξὺν ἀρνογλώσσῳ τοῦ ῥίζης ἐμ-

galla trita, rubi radix arida. v. Rhei

πάσσειν, ὁλκῆς τριώβολον ἐς κυάθους τοῦ ὕδατος τρεῖς ἢ τέσσαρας· ἐπὶ δὲ τῇσι διαβρώσεσι τότε ὅλως ἂν ἐκείνη σύμψιν ἐμποιέειν ἐς πάγον τοῦ διαῤῥέοντος αἵματος, καὶ τοῖσι δεχομένοισι ὅκοσοι ἀπὸ πολλοῦ τοῦ βρώματος μύωσιν αἱ φλέβες· ἀλλὰ καὶ τὰ πινόμενα ἔστω κραταιά, δυνατὰ ποιῆσαι πάγον. χυλὸν ὦν κοριαίου ξὺν ὄξεϊ, ἡ δὲ λαγωοῦ ταμισὸς, ἢ νεβροῦ, ἢ ἐρίφου, μὴ πολλὸν δὲ διδόναι· ἔκτεινε γάρ κοτε τουτέων τι τῷ πλήθεϊ· ἀλλὰ τοῦ μὲν χυλοῦ τοῦ κοριαίου, μὴ μεῖον μὲν ἡμικύαθον ἐς τρεῖς τοῦ ὀξυκρήτου· τῆς δὲ ταμισοῦ, ὀβολοὶ μὲν τρεῖς, τὸ δὲ πλεῖστον ὀβολοὶ δ΄· ἐς δὲ τὰ τοιάδε εἴδεα τῆς φορῆς, καὶ γῆ ἀρίστη σαμία, καὶ ἐρετριὰς, καὶ ἀστὴρ κάρτα λευκὸς, καὶ σινώπις, καὶ σφραγὶς ἡ λημνίη. τουτέων δὲ ὁλκὴ σταθμοῦ τὸ μεῖον, < α· τρεῖς δὲ τὸ πλεῖστον, ξὺν τινὶ τῶν ἑψημάτων φοινίκων, ἢ κερατίων ἐδωδίμων, ἢ ῥιζέων βάτων. ἢν δὲ τρηχύνηται ἡ ἀρτηρίη, καὶ ἐπὶ τῷδε βήσσῃ, σιραίῳ τῷ κρητικῷ ἐμπάσσειν τάδε. ἄριστος ἐς λείωσιν ἀρτηρίης καὶ ἄμυλος ξὺν τοῖσι δευθείς. ξὺν γὰρ τῷ λείῳ καὶ τὸ παρηγορὸν ἴσχει. ἢν μὲν ὦν ξυνεπείγῃ ἡ φορὴ, ἅπαξ τῆς ἡμέρης περὶ τῆς προσόρσιος δοτέον· ἢν δὲ μὴ, καὶ δὶς καὶ τρίτον ἐς τὴν ἑσπέρην. ἐκ δὲ τῶν φαρμάκων καὶ καταποτὰ ποιέειν ξηρῶν ἐν μέλιτι ἑφθῷ, ἐς σύστασιν, κηκὶς λείη· ἄριστον δὲ καὶ ῥόος ἐς τὰ ὄψα, κίτορτα, καὶ ὁ ὀξυλαπάθου καρπὸς, καὶ ἰδίῃ ἑκάστου καὶ ξυνῇ. τὰ δὲ μέντοι καὶ ὑπὸ τῇ γλώσσῃ ἔχειν ἐς τὸ διηνεκὲς τοῦ συντήξιος. ἀτὰρ καὶ κόμμι ξὺν τῷ φυτῷ, καὶ πράσσον, τῆς ἀκάνθης τὸ δάκρυον· ποικίλων δὲ φαρμάκων, μυρίη μὲν ἡ πείρη, ποικίλαι δὲ καὶ χρήσιες τροχίσκων τοῦ διὰ τῆς αἰγυπτίας ἀκάνθης, καὶ ἑτέρου δι' ἠλέκτρου, καὶ ἄλλου τοῦ κροκώδεος, ὡς ἡ σκευασίη ἰδίῃ λέλεκται. ἄνευ μὲν ὦν πυρετῶν, ἅπαντα τολμέειν ἐπὶ τοῖσι φαρμάκοισι, καὶ πολλὰ καὶ πολλάκις διδόντα· ἢν δὲ ἐπιπυρεταίνωσι· τὰ πολλὰ καὶ τῇσι φλεγμασίῃσι τῶν χωρῶν

scind. ac Plantag succo obolos tres 2 q.m ad pastum ... constrict... consecantur Venae 3. Coriandri succus, coagulum leporis hinnuli, hoedi, 4 non minus q.m dem cyath.

exasperetur sapa Cretica ad levand. Amylum prod. Q ad glutinand ... 5 perpetuo ... 6 ... plantam ipsa. 7 Pastillorum ex Spi... Aegypt.

Inflam.tio : vulnerum

γίγνονται πυρετοί· μήτε ἀθρόον ἴσχειν τὴν φορὴν, μήτε ἐν τοῖσι παροξυσμοῖσι φάρμακα πιπίσκειν. πολλοὶ γὰρ ὑπὸ πυρετῶν θᾶσσον ὄλλυνται, ἢ ὑπὸ τῆς τοῦ αἵματος φορῆς. τροφαὶ ποικίλαι, καὶ τὴν ἰδέην ὁκοῖα τὰ φάρμακα. ἀτὰρ καὶ τὰ φάρμακα ἐν τροφῇ. οὔτε γὰρ ἐπὶ μιῇ μούνῃ ἅπαντα εὑρεῖν τὰ τροφῆς ἀγαθὰ εὔπορον· οὔτε ἢν μὲν οὐ μούνη ἐς ἰηθείην ἀρκέῃ, μὴ μούνῃ χρέεσθαι διὰ τὸν κόρον ῥηΐδιον. καὶ γὰρ κατὰ ποικίλα εἴκειν· ἤδη δὲ ἀπὸ χρονίων γίγνεται. ἔστω ὦν στύφουσα καὶ ἐς δύναμιν ψύχουσα· ἀτὰρ ἤδε ἐς θίξιν. θέρμη γὰρ αἵματος προέκκλησις. χόνδροι πλυτοὶ, ὄρυζα ἐς ὀξύκρητον· ἢν δὲ τὸ ὄξος βῆχας ἐμποιέῃ, φοινίκων ἕψημα, ἄρτος ὀπτὸς κατὰ ξηρὸς κοπεὶς, ἤδε καὶ ἐς ἄλιτον διεσησμένος. ἐς πάντων ὦν ῥόφημα ξὺν λίπαϊ, θύμβρη ἁλσὶ ἡδυνθεῖσα, ῥοῦς ἐπίπασμα. ἢν δὲ καὶ χαρίσασθαί τι κάμνοντι ἐθέλῃς, κορίανον ἔστω ἐς ἡδονὴν ὅτῳ φίλον, ἤ τι τῶν οὐρητικῶν ἤδε εὐπνόων σπερμάτων. φακὸς ἢν μὲν ἡ αἱμορραγίη ἐπείγῃ, ξὺν ἀρνογλώσσου χυλῷ. ἢν δὲ μὴ, τοῦ χυλοῦ ἔστω φειδώ. οὐ γὰρ εὔπεπτον, οὐδὲ προσηνὲς ἐς κύστιν. χρὴ δὲ τουτέοισι ἥκιστα πάντων δύσπεπτον διδόναι. ἢν δὲ ἐξ αἱμορραγίης θάνατον ὀῤῥωδέῃ, καὶ ἀτερπὲς καὶ δύσπεπτον ἤδε ἄπνεα ἔστω τὰ σώζοντα. κηκὶς ὦν ξηρὴ, λείη προσεπιπασσέσθω φακῷ τῷ ξηρῷ καὶ ψυχρῷ, ὠὰ ἑψήσι παχέα, ξὺν ῥοιῆς σιδίοισι ἢ κηκῖδος. ἤδε ἐπὶ τῷ ἀνάγκης ἐν φαρμάκῳ τροφῇ· ποτὸν δὲ τὸ ξύμπαν ὀλίγον ἔστω. ξηρῇ γὰρ διαίτῃ ὑγρὸν ἀξύμφορον. τοιάδε μὲν στύψαι καὶ ψύξαι εἰ ἐθέλεις· ἢν δὲ παχῦναι καὶ αἷμα καὶ πνεῦμα, γάλα, καὶ ἄμυλος, καὶ χόνδροι, ἄλλοτε μὲν ξὺν ἀμύλῳ, ἄλλοτε δὲ ξὺν χόνδρῳ γάλα· ἐς πῆξιν δὲ ἡ σύστασις, ὡς μὴ ῥόφημα ὑγρὸν ᾖ. ἢν δὲ ἐπὶ μᾶλλον παχῦναι καὶ στύψαι ἐθέλῃς, οἱ χόνδροι μὲν ξὺν φοίνιξι ἑψείσθωσαν· ἐς δὲ τὴν σύστασιν, ἄμυλος ἔστω, καὶ γάλα ἄεισον, καὶ φὰρ τὸ τυῤῥηνικὸν, παχὺ ἐὸν καὶ γλίσχρον καὶ

Farro Tyrrheno

cibo med(icament)a admisce(n)

propter satiatem.

vel tactu frigida 3 alica elota 4 in farina speciem 5 sorbit(io) c(um) ol. 6. thymbra sale condita 7 inspersio cui jucund. 8 ut lente 9. modo salutem fer(unt) 10. c(um) cort. mali punici.

hor(um) consist(enti)a ad crassit(ude)m ne sorbitio sit liquida

κολλώδεs ξὺν τῷ γάλακτι· τὰ μισοῦ δὲ τοῦ ἐρίφου ὑγροῖσι τοῖσι ἐψήμασι προσεγχέειν ἐς πῆξιν, ὅκως ἐπὶ γάλακτι ἐς νέου τυροῦ ξύστασιν ἴσχει· παχύτερον δὲ τουτέων, κέγχρος ἑφθὸς ξὺν γάλακτι ὡς τὸ φάρ, καὶ τὸ ἐπίπαστον, ἢ κηκὶς καὶ τὰ σίδια. τεκμαίρεσθαι δὲ τὰς ξυμμετρείας τῶν ξηραινόντων ἢ παχυνόντων. καὶ γὰρ βηχώδεα ταῦτα, ὑπερβολῇ τε ξηρότητος μέλλεξε πέροισι προσέρρηξε τὰς φλέβας. ἢν δὲ ἀρήσηται μὲν, ἴσχηται δὲ τὸ αἷμα, ἐς τἀναντία ἐκ προσαγωγῆς ἡ μεταβολή, καὶ μηδὲν ἄγαν. φιλόστροφα γὰρ τάδε καὶ κακοήθεα. χρὴ δὲ σαρκοῦν ἤδη τὸν ἄνθρωπον, καὶ τὰς ὠτειλὰς ἐς τὸ πηρὸν ἄγειν αἰώρῃς, ἢ τρίψεσι μαλθακῇσι, περιόδοισι, θυμηδίῃσι, τροφῇ ποικίλῃ καὶ ξυνήθεϊ. τάδε μὲν ὧν ἢν ἐκ τῆς φορῆς τοῦ αἵματος τὸ ῥῶμα ξυμπέσῃ, καὶ ὁ χῶρος ὑγιασθῇ ὠκέως· ἢν δὲ ἐγκαταλείπηται ἕλκος καὶ διάπυον γίγνηται, ἑτέρης μεθέτης χρέος. καὶ γὰρ καὶ ἑτέρων διαδέχεται ἡ φορή. περὶ τῆς δὲ μέντοι, ἐν τοῖσι χρονίοισι λελέξεται.

ΘΕΡΑΠΕΙΑ ΚΑΡΔΙΑΚΩΝ, κεφ. γ.

ΕΝ συγκοπῇ μάλα χρὴ τὸν ἰητρὸν πρόνοιαν ἐπιτηδεύειν. μέλλουσαν μὲν γὰρ ἢν προγιγνώσκῃς, τά τε παρεόντα ἐπεσσυμένως συνεργὰ ἔνσεο· ἀτὰρ ἤδε ἐξηλάσοις ἂν αὐτὴν πρὶν ἥκειν· παρεοῦσαν δὲ οὐ ῥηϊδίως διδρήσκοισι οἱ νοσέοντες. λύσιν γὰρ τῆς φύσιος τὴν συγκοπὴν ἔλεξα· οὐ παλίσσυτος δὲ φύσις λυθεῖσα. τὴν δὲ ὧν μάλιστα μὲν μέλλουσαν κωλύειν· ἢν δὲ μὴ, ἄρτι ἀρχομένην. προγιγνώσκειν δὲ χρὴ τοῖσι, ἐν τοῖσι ἀμφὶ τῶν ὀξέων νούσων λελεγμένοισι, οὔτε τὴν αἰτίην, ἀτὰρ ἤδε καὶ τὰ σημήϊα ἐφραζόμεθα. καῦσος μὲν γὰρ ὁ πυρετὸς ἀρχή. ἐπὶ δὲ τῷ καύσῳ, κάκιστα σημήϊα, ξηρότης, ἀγρυπνίη, θερμασίη τῶν σπλάγχνων, ὅκως ἀπὸ πυρὸς, ψυχρὰ δὲ τὰ ἔξω· χεῖρες

καὶ

glutinosum Lacte, hodi coagulum liq. Dec. affund.

2 ad recent: Casei Consist.m 3. milium instar Farris cum Galla c mali-coriis insperg. 4 prop. cedat 5 paulatim 6. instaurand Carne Cicatrices in callum obduc. gestationib. frict. moll. 7 et ed suppuret ad alterius materia profusio succedit

magnopere providend

1. maturo Opem ferant. 2 restaurari non potest Q poteris avertere priusq.m invaserit 3. instantem arcere. 4. quo explicimus

καὶ πόδες ἄκροι ψυχρότατοι, ἀναπνοὴ ἐς ὁλκὴν μακρή. πυθέουσι γὰρ ψυχρὸν ἠέρα, οὕνεκεν ἐκπνέουσι πῦρ. σφυγμοὶ μικροὶ, πυκνότατοι, βομβώδεες. ἐκ τῶνδε ὦν τεκμαιρόμενος, ἢ δ' ὁκόσα μοι ἐν τοῖσι σημηΐοισι λέλεκται, αὐτίκα ἐξ ἀρχῆς ἀρήγειν. ἢν ὦν μὴ πάντα κωλύῃ, ἕξις, ἡλικίη, ὥρη, ἀψυχίη τοῦ ἀνθρώπου, τάμνειν φλέβα· κἢν πολλὰ κωλύῃ, εἷς δέ τις ἀριθμὸς ἐπίκαιρος ᾖ, ὁκοῖον γλῶσσα ῥηχίη τε καὶ ξηρὴ καὶ μέλαινα. εἰδέναι γὰρ τὰ ἔσω πάντα σημήϊα· ξυντεκμαίρεσθαι δὲ ἐπὶ πᾶσι τὴν δύναμιν, εἰ μὴ προσαπηύδηκε ἐκ τῆς νούσου, πόνων τε καὶ διαίτης. οὐδὲ γὰρ οὐδὲ ἐνδείῃ μοῦνον, ἀλλὰ καὶ πνιγί. ἢν δὲ ὑπὸ πλήθεος γίγνηται συγκοπὴ, καὶ φλεγμασίης τι ὑποχόνδριον, ἢ ἧπαρ τῆς μέγα διασημαίνῃ, οὐδὲ ἀμβολῆς χρέος. τάμνειν δὲ τῆς ἐπ' ἀγκῶνι τὴν κοίλην· ἀτὰρ ἤδε διὰ σμικρῆς τομῆς τοῦ ῥάσιος ἀφαιρέειν, ὡς μὴ σφόδρα τῇ δυνάμει ἐπίδηλον ᾖ. ἐλέγχει γὰρ τὴν φύσιν τὸ ἀθρόον· καὶ πολλόν τι μεῖον, ἢ δι' ἄλλας προφάσιας ἀφαιρέειν. ἢν γὰρ ἐπὶ συγκοπῇ καὶ σμικρὸν ἁμαρτῃ, ῥηϊδίως ἐς ἅδου τρέπει. αὐτίκα ὦν διδόναι τροφὴν ἐς νεοχμωσιν τῆς δυνάμιος· χαίνυται γὰρ ἡ φύσις, καὶ τῇ τῶν παλαιῶν ἀπαλλαγῇ, καὶ τῇ τῶν ποταινίων προσθήκῃ. ἢν δὲ φλεβοτομίην μὲν ἡ δύναμις ἀποβρέπῃ, φλεγμασίαι δὲ ἔωσι, συκίην τῇδε προσβάλλειν, πολὺ πρόσθεν τῆς κρίσιος τοῦ νοσήματος. ἐν κρισίμοισι γὰρ ἡ συγκοπὴ ἐπεὶ τῇσι αὐτῇσι προόδοισι, αἵ τε φύσιες κρίνουσι, αἵ τε νοῦσοι κλίνουσι. κἢν γὰρ ἐς ἀνάγκην οἰνοποσίης ἥκῃ ὁ ἄνθρωπος, οὐ κάρτα ἀσφαλὲς ἐπὶ φλεγμονῇ τι οἰνοποτέειν. οἶνος γὰρ φλεγμαίνουσι μὲν, πόνων ἐπίδοσις· ἀφλεγμάτοισι δὲ, φύσιος αὔξησις. ἐπίπροσθεν δὲ τῆς σικύης, πρὸ μιῆς ἢ δευτέρης ἐπιπλάσιος χρέος, ἐς τὴν ἄνεσιν τῶν μερέων, ἀτὰρ ἤδε ἐς εὔροιαν τοῦ αἵματος· μαλθακωτέροισι δὲ καὶ ἐπὶ τῇ σικύῃ, ἐς τὴν δευτέρην ἐπίπλασιν. ἔστω δὲ καὶ τῇδε φειδώ· κίνδυνος γὰρ ὠυτὸς τοῦ αἵματος τῆς ἀμετρίης καὶ ἐπὶ

τῇ συκίῃ· κλυσμοῖσι δὲ ἐπὶ σκυβάλοισι παλαιοῖσι μούνοισι
χρέος· τῆς δυνάμιος δὲ φείδεο. τέγξιες κεφαλῆς ψυχραὶ, ὁ-
κόσαι μοι ἐπὶ φρενιτικοῖσι λελέχαται, ὅκως εὐμετρίης ὀλί-
γῳ μέζω. καθαρὸς ἠὴρ ψυχρότερος ἐς ἀνάπνευσιν. ὄψιος
τερπωλὴ, φυτῶν, γραφῆς, ὑδάτων, ὡς ὁρῆσθαι τὰ πάντα ἡδέ-
ως. λαλιὴ τῶν παρεόντων φιλομειδὴς, ἡσυχίη, θυμηδίη τοῦ
νοσέοντος. ὀσμαὶ εὐώδεες, ἀβαρέες ἐς κεφαλῆς αἴσθησιν. ἀ-
τὰρ καὶ τῶν βρεφόντων ἔστωσαν ὀσμαὶ, ἀλφίτων ξὺν ὕδατι δευ-
θέντων, ἢ ὄξεϊ· ἄρτων θερμῶν νεοπέπτων· οἴνῳ δὲ μὴ κάρτα
κλύζειν σῶμα, μηδὲ ἀμαείργειν· ποτὸν θᾶσσον καὶ συνεχὲς ἢ τοῖ-
σι ἄλλοισι. τροφὴ ἀνὰ πᾶσαν ἡμέρην κούφη, εὔπεπτος, τὰ πολ-
λὰ σιτώδης, ἠδὲ καὶ ἡδεῖα, κἢν μικρὸν χείρων ἔῃ. τοῖσι δὲ γὰρ τῶν
ἄλλων μᾶλλον χαριστέον. οὐχ ἥκιστα γὰρ τῷ στομάχῳ ἐς ἔκλυ-
σιν ἡ νοῦσος ἀμφύει· ἀσιτία δὲ ἢ λιμὸς, ἐδαμᾷ. ἱκανὴ γὰρ ἡ
νοῦσος τὰ πάντα λαφύξαι. ἢν δὲ ἥκῃ μὲν ἤδη ἡ περίοδος ἐς
κρίσιν, νοτὶς δὲ κληῖδα καὶ μέτωπον ἰζάνῃ, καὶ ἄκρεα ψυχρὰ,
σφυγμὸς δὲ σμικρότατος, ἠδὲ πυκνότατος, ὁκοῖον ἕρπων, ἀμυ-
δρὸς τὸν τόνον, μικρόν τι ἄρα λαβεῖν χρὴ σίτων, καὶ οἴνου ἀνάρ-
γως ἅπτεσθαι. χρὴ δὲ κεφαλὴν περιησφαλίσθαι τέγξεσι, ἠδὲ
τὴν κύστιν· λέλεκται δέ μοι τάδε ἄκεα ἐπὶ τοῖσι φρενιτικοῖ-
σι. διδόναι δὲ οἴνου μὴ χανδὸν, μηδὲ ἄδδην· μετεξέτεροι
δὲ πλησμονῆς ἀκαιρίῃ, ἀνορεξίῃ τε καὶ ἀδρανείῃ τοῦ φαγεῖν
τε καὶ πιεῖν, ἀπώλοντο· πολλοὶ τι δὲ καὶ ἐν σιτίοισι ἐοῦσι, λελυ-
μένης ἤδη τῆς φύσιος, οὐδὲν τὸ πλῆθος ἐς τὸ μὴ θανεῖν ἤρ-
κεσε, ἐς μὲν τὴν γαστέρα καπιόντων τῶν σιτίων, οὐκ ἀνιόντων
δὲ ἐς τὴν δύναμιν ἀπὸ τῆς κοιλίης. ἔστω ὦν σιτία μὲν ποικί-
λα, τὰ πολλὰ σιτώδεα, ὡς ῥυμφαίνειν μᾶλλον ἢ μασᾶσθαι·
κἢν στερεὰ ἔῃ, ὀλισθηρὰ ἔσεσθαι γινέσθω. ᾠὰ μὴ κάρτα ξυ-
νεστῶτα, μηδὲ ὀπτὰ ὅλα, τοῦ στερεοῦ γυμνά· ψωμοὶ διάβροχοι
οἴνῳ, τὰ πρῶτα θερμώδεες δύο ἢ τρεῖς· ἐπὶ δὲ τοῖσι τὰ παν-

Vesica 13. neq. plurimum neq. avide
14 abund. intempest., in appet. impo-
tentia postea interierunt. 15 cibus
in Ventrem descend. in corp. non ascend
ad recreand. 16 sorberi
nandi, et si solida, lubrica 17.

τὰ ψυχρά, ἢν μὴ ὑποικουρέωσι φλεγμοναί· οἶνος εὐώδης, μὴ κάρτα στύφων· πλατὺς δὲ ὡς ἥκιστα· ἑλληνικοὶ μὲν, χῖος, ἢ λέσβιος, ὁκόσοι τε ἄλλοι νησιῶται λεπτοί· ἰταλῶν δὲ, συρεντῖνος, ἢ φουνδανὸς, ἢ φαλερῖνος, ἢ σιγνῖνος, εἰ μὴ σφόδρα στύφη· παραιτέεσθαι δὲ τῶνδε, τὸν κάρτα παλαιὸν, ἢ νεώτερον. διδόναι ὦν τὰ πρῶτα θερμὸν, μὴ μεῖον κυάθων τεσσάρων πρὸ τῆς κρίσιος, μηδὲ κοτύλης πλεῖον, κἢν εὔποτος ἔῃ· ἐπὶ δὲ τῶνδε σιτίων διδόντα, εἰ τὰ τῆς φλεγμασίης παρήκοι, αὖθις ψυχρὸν ὀρέγειν, ὅκως ἐς ἄκος δίψεος. πρὸς ἀνάγκην δὲ, μὴ μόνον μετὰ ξὺν σιτίῳ δέ· προϋποφυρεῖσθαι δὲ χρὴ, ὡς μὴ ἄψιν φρενῶν ὁ οἶνος πιέηται· καὶ ἐπὶ τοῖσι δὲ σιναιέχειν· κἢν ἐκ διαστάσιος εὕδειν θέλῃ, ἡσυχίην προσακλέειν. ἢν δὲ πουλὺς μὲν ἱδρὼς ἐκρέῃ, σφυγμοὶ δὲ πρὸς ἀκινησίην, ὀξεῖα δὲ φωνὴ, ἄθερμα δὲ καὶ τὰ στήθεα, διδόναι τοῦ οἴνου ὁκόσον ἂν δύνωνται πιεῖν. μοῦνος γὰρ οἶνος ἐλπὶς ἐς ζωὴν ψυχέεσιν. καὶ οἶνος ἐὼν ξυνήθης ἔῃ, ἄλλοτε μὲν πιεῖν, ἄλλοτε δὲ αὖ σιτίον ξὺν οἴνῳ φαγεῖν· ἐκ διαστήσιος μὲν, ἐς ἀνάπαυλαν τοῦ καμάτου, τοῦ ἔκ τε τῆς νούσου καὶ τῆς τροφῆς. ἐν γὰρ σμικρῇ τῇ ἰσχύϊ μογέουσι κάρτα καὶ ἐπὶ τῇ ἐδωδῇ. χρὴ ὦν αὐτόν τε ἀλκήεντα καὶ εὔθυμον ἔμμεναι, καὶ τὸν ἰητρὸν ἔπεσι μὲν παραφάσθαι ἐς εὐελπιστίην ἔμμεναι, ὡς δὲ ἀρήγειν ποικίλῃ τροφῇ τε καὶ οἴνῳ. χρὴ δὲ καὶ τῇ ἄλλῃ ἰητρείῃ ἐνεργῷ χρέεσθαι, ἔς τε τὴν τῶν ἱδρώτων κάθεξιν, καὶ τῆς δυνάμιος ἀνάστασιν ἐς τὸ ζώπυρον. ἔσω ὦν ἐπίθημα τῷ θώρηκι ἐς τὸν ἀριστερὸν μαζὸν, φοίνικες ἐν οἴνῳ λεῖοι, ξὺν ἀλόῃ, καὶ μαστίχῃ· κηρωτῇ δὲ ξὺν νάρδῳ πεποιημένῃ ἀνειλήφθω τάδε· καὶ ἢν τόδε ἄστηρον γίγνηται, ἄλλο ἐπιτιθέναι ἐπίθημα, μήλων ἐξελόντα τὸ σπέρμα, καὶ ὅ,τι περ ἂν σκληρὸν ῇ, θλάσαντα ξυμμίσγειν ἀλφίτοισι εὐώδεσι· ἔπειτα ἀψινθίου κόμην καὶ μυρσίνης, ἠδ᾽ ἀκακίης καὶ μαίνης σεσησμένων ξυμμίσγειν· ὁμοῦ δὲ τὰ πάντα φυράσαντα, κηρωτῇ ἀναλαμβάνειν οἰ-

1. Uva immatura succ. c̄ Ol. ex Oliv. maxime acerba confundo & c̄ his Acac. Gum. [illegible] palm. & [illegible] Alum.

odorat. Ros. succ. misc. 2. siccat 3. domus obvers. Septentrioni & gelida Borea af[flata] renova[t] & excitabit aegr[i] spir[itus] membra Il. E. v. 696. 4. Halitus [illegible] 5. imitari [illegible] jucundis [illegible] olent. ramo[rum] flabelli[s] 6. Operimentum 7. Linteum vetus 8. farina 9. siccit. [illegible] 10. Pollino 11. [illegible] 12. [illegible] madenti[bus] 13. impon. & Cachry[os] Cera pauxillum liquatum ut [illegible] memb. adhaeres[cat].

νανθίνη. ἢν δὲ ὑπὸ τῶνδε μὴ ἴσχηται ὁ ἱδρὼς, ὀμφάκος χυλὸν εἰς φύρησιν ξυντεθὲν, ὀμφάκιον ἀκμαῖον, καὶ ἀκακίη· καὶ κόμμι δὲ, ῥοῦς τὸ ἐδώδιμον, καὶ στυπτηρίη, καὶ φοίνικες, καὶ ῥόδων χυλὸς εὔπνοος· ἅμα πάντα νάρδῳ τε καὶ οἰνάνθῃ, τοῖς λιπαῖς ἐς τὸν θώρηκα ἐπιθεῖναι· καὶ γὰρ τόδε ἐμψύχει τε καὶ στύφει. κατακεέσθω δὲ ἐν ἠέρι ψυχρῷ, εἴτε καὶ πρὸς ἄρκτον ὁ οἶκος· εἰ δὲ καὶ εἴη αὔρη βορέου ψυχρὴ ἐπιπνείουσα, ζωγρήσοις κάρτος κεκαφηότα θυμόν. ἔστω δὲ καὶ ἐς λειμῶνας καὶ πηγὰς, καὶ κελαρύζοντας ὀχετούς· καὶ γὰρ καὶ τὸ εὔπνοον τῶνδε, καὶ ἡ θυμηδίη, καὶ τὴν ψυχὴν θάλπει, καὶ τὴν φύσιν ζωγρεῖ. ἀτὰρ καὶ πρόσκλησις ἐς φαγεῖν τε καὶ πιεῖν· ἢν δὲ ὑπ' ἀπορίης μὴ τάδε ἐς εὐπορίην τύχῃ, μιμέεσθαι χρὴ καὶ αὔρην ψυχρὴν, πτόρθων εὐωδέων ἡδονῇσι ῥιπίσι, καὶ ὥρην ἦρος φύλλοισι, ἢ δὲ ἄνθεσι τοῖσι παρεοῦσι στορέσαντα τὴν γῆν. ἀτὰρ καὶ ἐπίβλημα ἔστω κοῦφον, παλαιὸν, ὡς δέχηται μὲν τὸν ἠέρα, διαπνέῃ δὲ τοῦ θώρηκος τὴν θέρμην. ἄριστον δὲ ὀθόνη παλαιή· πάσσειν δὲ αὐχένας καὶ κληῖδας ἀλφίτοισι, καὶ θώρηκα· βρέχειν μὲν τοῖς εὐόσμοις· τοῖς δὲ αὐχμηροῖς ξυνεχέως. καὶ παιπάλῃ δὲ τοῦ σώματος τὸ ἀραιὸν ἐμπλάσσειν. ἀτὰρ καὶ τὰ πρόσωπα τῇ γῇ τῇ σαμίῃ, τῇ κρησέρῃ σεσησμένῃ ἐς ὀθόνην ἀραιὴν ἐνδήσαντα καταπάσσειν, ὡς διασήθηται ἐς τὰ μέτωπα καὶ τὰ μῆλα ἡ ἄχνη, καὶ τίτανον ἐσβεσμένην, καὶ γύψον ὀπτὴν, σησθέντα ἐν κρησέρῃ μικρῇ, ἐμβάλλειν ἐπὶ τοῖσι ἰκμαλέοισι· ἔστησέ τε κοτὲ ἱδρῶτας, καὶ σπογγίη ψυχροῦ ἐς τὰ πρόσωπα προσβληθεῖσα, πήξει μὲν τῶν διαρρεόντων ὑγρῶν, πυκνότητι δὲ τῆς ἀραιώσιος. διαχρίειν δὲ τὴν ἕδρην, ὅκως ἡ τοῦ ψυχροῦ φύσα, καὶ τῆς τροφῆς ἐκχέηται, ἡ δὲ ἀνακαλέσασθαι τῶν ἄκρων τὴν θέρμην, γλευκίνῳ, ἢ σικυωνίῳ λίπαϊ ξὺν πεπέρει, καὶ τῷ καστορίῳ καὶ νίτρῳ, καὶ κάχρυος σμικρὸν ἐντήκοντα, ὡς ποθίζει τὸ χρίσμα, καὶ διὰ τῆς λιμνήστιδος ἢ δὲ εὐφορβίου, καὶ δάφνης τοῦ καρποῦ

1. q[uo]d conficitur ex Limon. 2 Bulbi crudi 3 aceti lævigata sacco.

ἄλειμμα, ἐπανάκλησιν θέρμης ποιέεσθαι· ἀτὰρ καὶ βολβοὶ ὠμοὶ, οἱ σμικροί τε καὶ ἐρυθροὶ, ξὺν πεπέρεϊ καὶ ὄξεϊ ξυγκλασθέντες, ἄριστον ἐπίπλασμα τῶν ποδῶν, καθ' ὥρην ξυνεχέστατα ἀείροντα. κίνδυνος γὰρ ἑλκέων, ἠδὲ φλυκταινώσιος. ἐπὶ τοῖσι ἐλπὶς τὸν ὧδε νοσέοντα διαδρῆναι τὸν ὄλεθρον· κἢν πάντα μὲν τὰ κατὰ λόγον ἰητρὸς ἔρδῃ, εὖ δὲ πάντα χωρέῃ, ξὺν τῇ ξυγκοπῇ καὶ αἱ φλεγμασίαι ἐπίεσι ἐκλύονται· καὶ ἱδρὼς μὲν οὐδαμᾶ, θέρμης δὲ ἀνάκλησις πάντη. ἀτὰρ καὶ ἐς ἄκροις πόδας, καὶ ἀνὰ ῥῖνα. τὸ δὲ πρόσωπον εὔχροον· σφυγμοὶ ἐς μέγεθος ἠρμένοι, εὔρυθμοι, σφοδροί· φωνὴ δὲ ξυνήθης, εὔφωνος, καὶ τὰ πάντα ζωώδης. κάματος οὐκ ἀγεννής, ἀτὰρ ἤδη εὕδων ὁρᾶται, καὶ ἢν ἔλθῃ μὲν ὕπνος, ἐξέπεψε μὲν τὰ σιτία, ἐξένηψε δὲ τὴν αἴσθησιν, ἀτὰρ ἤδη ἐξεβλάστησε τὴν φύσιν. κἢν ἐξ ὕπνου ἔγρηται, εὔπνοος, εὐσταλής, ἄπονος, ἀναπεμπάζεται δὲ ὅκως ὑπὲρ ὄναρ τὴν νοῦσον. μετεξετέροισι δὲ, πυρετοὶ ἀμαυροὶ ἐγκαταλείπονται, καί πη καὶ φλεγμασίαι σμικραὶ, καὶ γλῶσσα ξηρὴ, αὐχμοὶ, ῥιγώδεες, νωθροὶ, διαλελυμένοι, οἷσι ἐς μαρασμὸν ἡ προτροπή. εὖτε οὐ καταβλακεύειν χρὴ ἠρεμίῃ καὶ λεπτῇ διαίτῃ, ἀλλ' ἐς κινήσιας ἄγειν αἰώρῃς καὶ τρίψιος, καὶ λουτρῶν, ὅκως ἐκ τοῦ νεκρώδεος ἐνταθείη καὶ ἀναζαφείη τὸ ζώπυρον· διδόναι δὲ καὶ γάλα μάλιστα μὲν γυναικὸς νεοτόκου, καὶ κουροτρόφου. καὶ γὰρ οἵδε ἀνατροφῆς ὅκως ἀρτίτοκοι παῖδες δέονται. ἢν δὲ μὴ, ὄνου μὴ παλαιοτόκου. ἐπίτηδον γὰρ τὸ τοιόνδε γάλα· καὶ ἐπὶ τοῖσδε ἐς ἀνάληψιν ἄγειν, καὶ τὰ συνήθεα.

pict. etc 9. vita fomes renovat.

ΘΕΡΑΠΕΙΑ ΧΟΛΕΡΗΣ, κεφ. δ.

ἘΝ χολέρῃ ἡ τῶν φερομένων ἐπίσχεσις κακόν. ἄπεπτα γάρ. χρὴ ὦν ἡμᾶς, ῥηϊδίως αὐτόματα δέχεσθαι, ἢν δὲ μὴ, ὀτρύνειν, διδόντας ὕδατος εὐκρήτου ῥυμφάνειν, ξυνεχές γε

a suppressio prodeuntium b. incitare c. aq[uæ] temp. sorbitioni dare

4. ... molestiam non percipit et in dormiens deprehenditur 5 recepit sens. ... 6. ... expeditus ... recreat morb. ... 7. ipsi animi deterend. tempus ... vend. gestat. 10 asini qui iam pridem peperit 11. ... 12. recipi et ad consuetudinem reverti debet.

μίην· ὀλίγον δὲ, ὅκως μὴ ἐντάσιες ἔωσι κεναὶ στομάχου σπασ-
μώδεες. ἢν δὲ καὶ ψόφοι ἔωσι, καὶ ποδῶν ψύξιες, τέγγειν μὲν τὴν
κοιλίην λίπαϊ θερμῷ ξὺν πηγάνῳ, καὶ κυμίνῳ ἑψηθέντι, ἐς
τὰς τῶν φυσέων διακρίσιας· καὶ ἐπιτιθέναι εἴριον, καὶ τὼ πόδε
λιπαίνοντα ἡσυχῇ τρίβειν, ἀμφαφόωντα μᾶλλον ἢ πιέζοντα.
ἀτὰρ καὶ μέχρι τῶν γουνάτων γιγνέσθω τάδε, ἐς ἀνάκλησιν
θέρμης. καὶ μέσφι μὲν κόπρια κάτωθεν διαχωρέει, ἄνωθεν
δὲ χωρέει χολώδεα, τάδε χρὴ ποιέειν. ἢν δὲ ὑπεληλύθῃ μὲν ὁ
πᾶς παλαιὸς σῖτος, χολαὶ δὲ διΐωσι, καὶ χολώδης ἔμετος, καὶ
διάτασις ἔῃ, ἤδε καὶ ἄση, καὶ ἀπορίη, καὶ ἀδυναμίη, ψυχροῦ
ὕδατος κυάθους δύο, ἢ τρεῖς διδόναι, ἔς τε τὴν τῆς κοιλίης
στύψιν, ὅκως ἐπίσχῃ τὴν παλίρροιαν, ἤδε τὸν στόμαχον αἰθό-
μενον ἐμψύξῃ. ξυνεχέως δὲ τόδε, ἐπὴν τὸ ποθὲν ἐμέσῃ, πρὸσ-
γὰρ ῥηϊδίως μὲν τὸ ψυχρὸν ἐν τῇ κοιλίῃ θάλπεται· ἀτὰρ ἤδε
ἐξεμεῖ ὁ στόμαχος, ἀχθηδόνι τοῦ θερμοῦ καὶ ψυχροῦ. ξυνεχέ-
ως δὲ ποθέει ψυχρὸν ποτόν. ἢν δὲ καὶ σφυγμοὶ μὲν ἐς τὸ μικρὸν
ξυμπέσωσι, ἤδε ἐς τὸ ξυνεχὲς καὶ πυκνὸν διώκωνται, ἱδρὼς
δὲ περὶ μέτωπα καὶ κληΐδας, καὶ πάντῃ τοῦ σώματος στάγδην
ῥέῃ, καὶ γαστὴρ μὴ ἐπίσχηται, καὶ ὁ στόμαχος ἐμέῃ ἔτι ξὺν τάσι
καὶ λειποψυχίῃ, καὶ οἴνου βραχὺ ἐπιστάζειν τῷ ὕδατι τῷ ψυ-
χρῷ, εὐώδεος, στύφοντος, ἔς τε τὴν τῆς αἰσθήσιος ἀνάκλησιν ὑ-
πὸ τῆς ὀσμῆς, καὶ ἐς τὴν τοῦ τόνου ῥῶσιν, ὑπὸ τῆς δυνάμιος, καὶ
ἐς τὴν τοῦ σώματος πρόσθεσιν ὑπὸ τῆς θρέψιος. οἶνος γὰρ ὠ-
κὺς μὲν ἐς τὴν ἀνάϊξιν, ὡς τὴν παλίρροιην φθῆναι· λεπτὸς
δὲ, ὡς ῥηϊδίως χυθεὶς τῇ φύσει ξυνέξειν ἐρρῶσθαι· κραταιὸς
δὲ, ὡς δύναμιν στῆσαι ῥέουσαν· ἐπιπάσσειν δὲ καὶ ἀλφίτων κο-
λένεων, εὐπνόων. ἢν δὲ ξυνεπείγῃ πάντα, ἱδρὼς καὶ ἔντασις,
οὐ τοῦ στομάχου μοῦνον, ἀλλὰ καὶ νεύρων, λύγξ κενεὴ καὶ πόδες ψυ-
χραίνωνται, καὶ κοιλίη ὑποφέρῃ πολλά, καὶ ἀχλυώδης ὁ ἄν-
θρωπος, σφυγμοὶ δὲ πρὸς ἀκινησίην ἔωσι, τότε χρὴ φθάνειν

12. urgeant
13 homo caligat. 14 micare desinat
15 praevertere oportet hujusmodi statum

1. ... meracioris
2. Panis frustulis vino intinctis

3. punct. Oporam dictos sorba.

τήνδε τὴν κατάστασιν· εἰ δὲ καὶ παρῇ, ψυχροῦ καὶ οἴνου πολλόν τι διδόναι· μὴ ἀκρητεστέρου δὲ, διὰ τὴν μέθην· καὶ τὰ νοῦ εα, ξὺν σιτίῳ, ψωμοῖσι διαβρόχοισι· διδόναι δὲ καὶ τῆς ἄλλης τροφῆς, ὁκοῖα ἐν συγκοπῇ μοι λέλεκται, ὀπώρην στύφουσαν, οὖα, μέσπιλα, μῆλα κυδώνια, σταφυλήν. ἢν δὲ τὰ πάντα ἐμέῃ, καὶ ὁ στόμαχος μηδὲν ἴσχῃ, ἐς τὰ θερμὰ καὶ ποτὰ καὶ βρώματα παλινδρομέειν. μεθ' ἑκατέροισι γὰρ ἔστησεν ἡ μεταβολή. τὰ θερμὰ δὲ ἔστω θερμότατα. ἢν δὲ μηδέν τι τούτων ἀρήγῃ, σικύην ἐς τὸ μεσηγὺ τῶν ὠμοπλατέων προσβάλλειν, καὶ κάτωθεν ὀμφαλοῦ τρέπειν· συνεχῶς δὲ τὰς σικύας μετιζάνειν· ὀδυνηρὸν γὰρ τὸ ἐπίμονον, καὶ κίνδυνον φέρον φλυκταινώσιος. ὤνησέ κοτε κίνησις ὥρης εὔπνοος, ὡς καὶ τὸ πνεῦμα ζωγρῆσαι, καὶ τὴν τροφὴν ἐν τῇ κοιλίῃ σχέθειν, καὶ εὔπνοον καὶ εὔσφυκτον τὸν νοσέοντα θέμεναι. ἢν δὲ ἐπὶ μέζω γίγνηται τάδε, ἐπὶ τῆς κοιλίης καὶ τοῦ θώρηκος τιθέναι· καὶ τάδε ἔστω ὁκοῖα ἐς συγκοπὴν, φοίνικες ἐν οἴνῳ δεδευμένοι, ἀκακίη, ὑποκυστίς· τάδε ξὺν ῥοδίνῃ κηρωτῇ ἀναλαβόντα, ἐγχέαντα δὲ ἐς ὀθόνην, ἐπὶ τὴν κοιλίην τιθέναι, ἐς δὲ τὸν θώρηκα μαστίχην, ἀλόην, ἀψινθίου κόμην λείαν ξὺν κηρωτῇ ναρδίνῃ, ἢ οἰνάνθης ἐπιπάσσειν ὅλῳ τῷ θώρηκι· ἐς δὲ τοὺς πόδας καὶ τοὺς μύας ἢν ἐκταίνωνται, σικυώνιον, γλεύκινον, ἢ παλαιὸν ἄλειφα, ξὺν κηρῷ σμικρῷ χρίειν· ἐπιπάσσειν δὲ καὶ τοῦ κάστορος. ἢν δὲ καὶ ψυχροὶ ἔωσι οἱ πόδες, καὶ τῷ διὰ τῆς λημνίστιδος καὶ εὐφορβίου χρίειν ἀλείμματι, καὶ ἐρίοισι ἀμφειλίσσειν καὶ ψηλαφίῃ χειρῶν ἀποθύνειν· ἅμα καὶ τὴν ἔσχιν καὶ τοὺς τένοντας, καὶ τοὺς μύας, τῶν τε σιαγόνων τοῖσι αὐτέοισι χρίειν. κἢν μὲν ἐπὶ τοῖσι ἴσχηται μὲν ὁ ἱδρὼς καὶ ἡ γαστὴρ, ὅ, τε στόμαχος δέχηται τὰ σιτία, καὶ μὴ ἐμέῃ, σφυγμοὶ δὲ μεγάλοι τε καὶ εὔτονοι ἔωσι, καὶ ἡ ξύντασις ἀπολείπῃ, θέρμη δὲ καὶ πάντα ἀναιρῇ, καὶ τὰ ἄκρα ἀδικῇ, ὕπνος δὲ πάντα πιέσῃ, δευτέρῃ ἡμέρῃ ἢ τρίτῃ λύσαντα, τρέπειν ἐς τὰ ξυνήθεα· ἢν δὲ

4 infra Umbilicum affigendo
5 ... profuit ...
7. qua ... excepta ... lintea
8 lanis involvendo & manib: contrectando
9 ...
10 ...

cuncta somnus concoq[uat]: 12 ... ad consuet[udine]m reverti

fh ac lividus puls. pene et ager

πάντα μὲν ἀπεμέῃ, ἱδρὼς δὲ ἄσχετος ῥέῃ, ψυχρὸς δὲ καὶ πελιὸς γίγνηται ὥνθρωπος, σφυγμοὶ δὲ πρὸς ἀπόσβεσιν ἔωσι καὶ ἀπινυδήκῃ, ἀγαθὸν ἐν τοῖσι τοιουτέοισι εὐπρεπέα εὑρέσθαι φυγήν.

ΘΕΡΑΠΕΙΑ ΕΙΛΕΟΥ, κεφ. ε.

ΕΝ εἰλεῷ πόνος ἐστὶ ὁ κτείνων ἐπὶ φλεγμονῇ ἐντέρων ἢ ἐντάσεις, καὶ πρήσιος· ὤκιστος, ἢ δὲ κάκιστος ὄλεθρος. μετεξέτεροι μὲν γὰρ ἀνελπίστως νοσέοντες, θάνατον προφανέα μοῦνον ὀῤῥωδέουσι· οἱ δ' ἐν εἰλεῷ πόνοι, ὑπερβολὴ θανάτου ἐσανται. χρὴ ὦν μήτε σμικρότερόν τι γίγνεσθαι τὸν ἰητρὸν τοῦ πάθεος, μήτε βραχύτερον· ἀλλὰ ἢν μὲν φλεγμασίην αἰτίην εὕρηται, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι μεγάλῃ τῇ χάσι, ὅκως ἀθρόως διεκχέῃ τὸ αἷμα τῆς φλεγμασίης ἡ τροφὴ, κἢν μέσφι λειποθυμίης. τόδε γὰρ ἢ ἀπονίης ἀρχὴ γίγνεται, ἢ νάρκης ἐς ἀναισθησίην· ἀνάπαυσις δὲ ἐν εἰλεῷ, κἢν ὑπὸ ἀγνοίης ἐς βαιὸν χρόνον ἔῃ τοῦ πόνου ἀμβολή· ἐπεὶ καὶ τὸ θνήσκειν τοῖς μὲν ὧδε πνέουσι εὐδαιμονίη· τῷ ἀρχιητρῷ δὲ οὐ θέμις πρήσσειν· θέμις δέ κοτε προγιγνώσκοντα σάφα τὰ παρεόντα ὡς οὐ φύξιμα, καρηβαρέῃ νωθρῇ δύνασθαι. ἢν δὲ αὖθι φλεγμασίης ἐπὶ διαφορῇ, ἢ ψύξι κραταιῇ γίγνηται ὁ εἰλεὸς, φλεβοτομίην μὲν ἴσχειν, τὰ δὲ λοιπὰ ἅμα πάντα πρήσσειν, ἐμέειν ἀπὸ ὕδατος θαμινὰ, συχνὸν πίνειν ἔλαιον· εἶτα αὖθις ἐξεμέειν, φύσας ἄγειν κάτω ἐρεθίσμασι. ἐρεθιστικὸν μὲν κυκλαμίνου χυλὸς, τὸ νίτρον, ἢ ἅλες· φυσέων δὲ ἄγρια, κύμινον, ἢ δὲ πήγανον. χρὴ ὦν πάντας ὁμοῦ ξὺν ῥητίνῃ τῇ τοῦ τερμίνθου διαχρίειν· τὰ δὲ καὶ σπόγγοισι πυριῆν· ἢ τοῖς δὲ ὑποκλύζειν ξὺν ἐλαίῳ, τὸ μέλιτι, καὶ ὑσσώπῳ, καὶ κολοκύντης ἀγρίας τῆς σαρκὸς ἑψήματι· κἢν ἐκκριθῇ κόπρος, αὖθις ἔλαιον

inflatio / in mentem / se formidant / remed. non / ... nec tar- / dius 2. Re- / -creatio ... / ... sensus / defectu 3. ita / Dol: cruciatus / 4 non evitand / ... / gravitate ... / torpida ... / ... 5. Irri- / -tamentis / 6. iisdem sub / ducend ventr

Q[illegible] acerb. it[illegible] cruciatus mortem desiderat

1. immittere 2. fomentum gratum Int.
3. ex lentibus figulorum

θερμὸν ξὺν πηγανῷ ἐνιέναι. πρὸς δὲ γὰρ ἢν εἴσω μίμνῃ, πυρίημα τοῖσι ἐντέροισι εὐμενές· τέγγειν δὲ τὰ πονέοντα χρεία ἐλαίῳ ξὺν πηγανῷ, καὶ ἀνήθῳ ἅδδην ἑψηθέντι. ἔστω δὲ καὶ πυρίη φακῶν τῶν κεραμηΐων, ἢ χαλκέων, ἢ κέγχρου, καὶ ἁλῶν φωχθέντων. ἐπιπλάσματα πρὸς τοῖσι ξὺν οἴσι ἔστω αἴρης ἄλητον, καὶ κύμινον, καὶ ὑσσώπου, ἢ ὀριγάνου κόμη. σικύαι δὲ κοῦφαι μὲν, συχναὶ δὲ, ἄλλη πρὸς ἄλλας μεταθεμένη ἐς τὸ ἐπιγάστριον, ἐς τὰς ἰξύας, μέσφι βουβώνων· ἠδὲ κατόπιν ἐς ἰσχία πρὸς νεφροὺς καὶ ἕδρην. πάντῃ γὰρ αὖτις πάντα πόνον ξυμφέροι. προπίνειν δὲ κυμίνου ἢ πηγάνου ἀφεψήματος, καὶ τοῦ σίνωνος, ἢ ξὺν τοιούτοισι τῶν φαρμάκων τῶν ἀνωδύνων μετά· μνεία δὲ ἄλλοισι ἄλλα πείρῃ γεγόνασι πιστά. ἀγαθὸν δὲ καὶ τὸ δι᾽ ἐχιδνῶν φάρμακον, μεῖζον τοῦ μέτρου πρὸς τὸ ξύνηθες ποθέν. ἢν δὲ μήτε ὁ πόνος ἐνδιδῷ, μήτε φῦσα, μήτε κόπριον ἀναδοίη, τῆς καθαρτηρίου τῆς ἱερῆς ὑπ᾽ ἀνάγκης διδόναι. ἢ γὰρ ἀπηλάθη ξὺν φλέγματι καὶ χολῇ τὸ φάρμακον, ἢ διῆλθεν ἐξάγον φύσας, σκύβαλα, φλέγμα, χολὴν, τοῦ κακοῦ τὰς ἐντάσιας. τροφὴ διεξάγουσα· ζωμοὶ ἀλεκτορίδων, κογχαρίων, πτισάνης ὁ χυλὸς καθεφθος ξὺν πολλῷ λίπαϊ, ἀρχῆθεν προσεγχυθέντι τῆς ἑψήσιος· ἐχέτω δὲ, κύμινον, λίβον, πράσον ξὺν τῇ κόμῃ. ἢ ἰχθύη ξὺν ζωμῷ τινὶ διαχωρητικῷ, κοχλίαι ἄκρως ἑφθοὶ, καὶ ὠῶν δὲ χυμὸς, ἢ τελλίνης· ὕδωρ ποτὸν, ἢν πυρεταίνῃ ξὺν ἀσάρῳ, ἢ νάρδῳ, ἢ κάγχρυ ἑψηθέν. καὶ γὰρ φύσης ἀγωγὰ, καὶ οὐρητικὰ καὶ εὔπνοα. ἢν δὲ ἄπυρος ἔῃ, καὶ οἶνος ἐς τε τὴν τῶν ἐντέρων θέρμην, ἀτὰρ ἠδὲ ἐς ἀνάκλησιν τῆς δυνάμιος ἀρήγει, καὶ μαράθρου ῥίζης ἕψημα ποθὲν, καὶ ἀδίαντον, καὶ κινάμωμον. ἢν δὲ ἐς ἀπόστασιν τρέπηται ἡ φλεγμασίη, τῇδε ξυμβάλλειν ἄμεινον τοῖσι ἐς ἀπόστασιν φαρμάκοισι χρεόμενον. γεγράφαται δὲ τάδε ἐν τοῖσι χρονίοισι. ἔνθα κωλικῶν θεραπείη ἐγράφη.

13. si non febricitet

Milio, sale to-
sto. 4. [illegible]
[illegible]
plasma
farina [illegible]
5. [illegible]
6. a tergo
coxis. 7. pro-
bata

ex Viperis
maj. mens.
[illegible]
[illegible]
9. rejicitur
transit
[illegible]
qua malum
intendunt
10. Iclu. alu.
Iusc. Gallin.
11. porrum
12. alu. ligua
ld. Cochleae
[illegible]
Iusc. ip-
sarum vel
Tellinae.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΟ ἧπαρ ὀξέων παθῶν, κεφ. ϛ.

ejusq. [illegible] univ. Corpus

1 Creatio. 2. [illegible]ma-natio. 3. Con-cretio quod. 4. Obstructio 5 incendium effusu destitutum 6. per alia via [illegible] 7. med. ext. imposit. quo infer. accurata dissentero. incendium 9 ex. par. [illegible] irionis, hord 10 vitis capreolorum 11. matura 12. lentisci pulegii. 13. Hirud. Scarif. magis provenit

ΕΝ ἥπατι τοῦ αἵματος ἡ ῥίζα, καὶ ἐς τὸ πᾶν ἔνθεν ἡ τοῦ * ἀφεψή. καὶ τὸ ξύμπαν ἧπαρ, ὁκοῖον αἵματος πάγος. ὀξύτατοι ὦν αἱ τῇδε φλεγμοναί. ἐγχέεται γὰρ τῷ χωρίῳ τῷδε ἡ τροφή. ἢν μὲν ἑτέρωθι τῇ φλεγμονὴ συστῇ, οὐ κάρτα γίγνεται ὀξείη. νέη γὰρ ἡ τοῦ αἵματος ἐπιρροή· ἐπὶ δὲ τῷ ἥπατι, οὐ χρέος ἑτέρωθεν ἥκειν. ἢν γάρ τις ἔμφραξις τὰς ἐξόδους ἐπίσχῃ, πιμπρᾶται τὸ ἧπαρ τῆς ἐκροῆς ἀμερθέν· ὁ δὲ τῆς τροφῆς εἴσροος, ἐς τὸ ἧπαρ ἐπιμίμνει. ἑτέρη γὰρ ὁδὸς τῆς τροφῆς ἐς τὸ πᾶν σκῆνος ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων. εὐπόρως ὦν χρὴ τὴν κένωσιν ἐμποιέειν, τάμνοντα φλέβας τὰς ἐπ᾽ ἀγκῶνι, συχνὸν μὲν ἀφαιρέοντα, μὴ ἀθρόον δέ. ἀποσιτίῃ μὲν τὰ πρῶτα, ὀλιγοσιτίῃ δὲ αὖθις, ὅκως καὶ τοῖσι εἰσιοῦσι τὸ ἧπαρ κενεὸν ἔῃ. χρὴ δὲ καὶ τοῖσι ἐπιθέτοισι διασκιδνάναι τὰ ἐν τῷ ἥπατι σήκεα. τέγξις μὲν ὦν ξὺν ἀλόῃ, ἢ λίτρῳ εἴρια πινόεντα οἰσύπῳ. χρέος ὦν ἐμψύξιος, οὕνεκα τῷ αἵματι αἴθεται τὸ ἧπαρ. θερμὸν γὰρ τὸ αἷμα. τοιάδε χρὴ καὶ τὰ ἐπιπλάσματα ἔμμεναι, ἀλίτων μὲν αἰρίνων, ἢ ἐρυσίμων, ἢ κριθῆς, καὶ λίνου σπέρματος· χυμῶν δὲ, οἴνου ὀξέος, μήλων τοῦ χυλοῦ, ἑλίκων τῆς ἀμπέλου, οἰνάνθης τῆς ὡραίης, ἢ τοῦ ζωοῦ τῇδε λίπαος πυρίη, σπόγγοισι καρποῦ δαφνῆς ἑψήματος, σχίνου, γλήχωνος, ἴριδος· ἐπὴν δὲ τουτέοισι πρηΰνῃς, συκίην προσβάλλειν μέζονα, ὡς ἀμφιλαβεῖν πάντη τὸ ὑποχόνδριον, ἐντάμνειν δὲ βαθύτερα, ὡς πολλὸν ἑλκύσαι αἷμα. μετ᾽ ἐξετέροισι δὲ αἱ βδέλλαι ἢ δάσαι κρέσσον. παρεισδύεται δὲ τοῦ ζώου ἡ δῆξις· ἀτὰρ ἡ δὲ μέζονας διαβρώσιας ποιέεται τῇδε καὶ δυσεπίσχετος ἡ ἀπὸ τῶν ζώων αἱμόρροια· κἢν ἄδδην πιὸν ἐκπέσῃ τὸ θηρίον, συκίην προσβάλλειν. νέρθεν γὰρ ἕλκει τὸ νῦν.

14 morsus Bestiola inter. descendit, mag. erosiones facit unde — 15 c. saturata 16. intimis partibus

Quiquidem illuc aliunde sang. influit, ut in Hep. aff. non opus est ut ab alio quovis loco adveniat.

l. med. adhib. sang. sistentia

κὴν ἄλις ἔχῃ κενώσιος, ἐς μὲν τὰ πρώματα ἰσχαίμασι χρέεσθαι, ἀδίκλοισι, ἀραχνίων ὑφάσμασι, μάννῃ, ἀλόῃ, ἐπιπάσσειν· ἠδὲ ἄρτῳ ἑφθῷ ξὺν πηγάνῳ, ἢ μελιλώτῳ, ἀλθαίης ῥίζῃσιν· ἐς δὲ τὴν τρίτην ἡμέρην, κήρωμα ξὺν μυροβαλάνῳ, ἢ ἀψινθίου κόμῃ, καὶ ἴρεϊ. ἀτὰρ καὶ τὰ μαλάγματα τοιάδε χρὴ ἔμμεναι ὁκοῖα λεπτῦναι, ἢ ἐξαραιῶσαι, ἢ οὔρησιν ῥέψαι. ἄριστον μὲν ὦν τὸ διὰ τῶν σπερμάτων, ὧν ἅπασι ἰητροῖσι ἡ πεῖρη εὔγνωστος. ἀγαθὸν δὲ καὶ ἔνθα ἡ σάμψυχος ἢ τὸ μελίλωτον ἐγκέαται. τροφαὶ δὲ λεπταὶ, εὔδρομοι, οὐρήσιος προκλητικαὶ, εὐδίοδοι, χόνδροι ξὺν μελικρήτῳ, καὶ ῥόφημα ἐκ τῶνδε ξὺν ἁλσὶ, ἠδὲ ἀνήθῳ· πτισάνης δὲ χυλὸς καὶ σμηγματώδης. ἢν δὲ καὶ δαύκου τοῦ καρποῦ ἐγχέῃ τι, κρέσσον ἐς οὔρησιν: ὑποδέχεται γὰρ διὰ τῶν ὀχετῶν, οἵπερ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσι· ταχείη δὲ τοῖς ἀπὸ ἥπατος ἐκρέουσι ἡ τῇδε ἔξοδος, εὐρύτητί τε τῶν ἀγγείων, καὶ ἰθύτητι τῆς ὁδοῦ. χρὴ ὦν καὶ σικύῃ τῇδε ἕλκειν ἐς τὴν χώραν προσβάλλοντα τῶν νεφρῶν καὶ ἰσχίον. ἀτὰρ καὶ τέγγειν τάδε λίπαϊ ξὺν πηγάνῳ, ἢ σχίνῳ, ἢ καλάμῳ τῷ ἀρωματικῷ. ἐπὶ δὲ τοῖσδε ἐλπὶς τὸν νοσέοντα διαδρᾶναι τὸν ὄλεθρον· ἢν δὲ ἐς ἐμπύησιν τρέπηται, τοῖσι πυοποιοῖσι χρέεσθαι, ὁκόσα μοι ἐπὶ κωλικοῖσι λελέξεται. ἢν δὲ καὶ πύον γένηται, ὅκως μὲν τάμνειν, ὅκως δὲ ἰητρεύειν, ἄλλῃ πη γεγράψεται· τάδέ μοι καὶ ἐπὶ σπληνὶ γεγράφθω, ἤν κοτε ξυμφορὴ φλεγμασίης ὀξέης καὶ τόνδε καταλάβῃ.

l. scripta sunto d. invaserit.

ΘΕΡΑΠΕΙΑ ΝΩΤΙΑΙΑΣ ΦΛΕΒΟΣ, καὶ ἀρτηρίης ὀξείας νούσου, κεφ. ζ.

Τὴν τῆς κοίλης φλεβὸς φλεγμασίην, καὶ παχέης ἀρτηρίης, αἳ παρὰ τὴν ῥάχιν τέτανται, καύσου ἰδέην ἐκάλεον οἱ πρόσθεν. καὶ γὰρ καὶ καύσοισι ἴκελα πάθεα ἐπὶ τοῖσι γίγνεται.

πυρὸς ὀξὺ καὶ δριμὺ, ἄση, δίψος, ἀπορίη, σφυγμὸς παλμώδης ἐν ὑποχονδρίῳ, ἠδὲ τοῖσι μεταφρένοισι, ἀλλά μοι ὁκόσα ἐπὶ τοῖσι σημείοισι γέγραπται. ἀτὰρ καὶ ἐς ξυγκοπὴν ὀκέλλει τὸ πῦρ, ὅκως ἐπὶ τῇσι καύσεσι. τῆς μὲν γὰρ φλεβὸς ῥίζωσις ἧπαρ· τῆς δὲ ἀρτηρίης ἀρχὴ καρδίη. δοκέοις ἂν ὦν μὲν τὰ ἄνω μέρεα, τῇδε δὲ τῶν σπλάγχνων νοσέειν τὰ καίρια. θέρμης μὲν γὰρ ἡ καρδίη ἐνδιδοῖ τῇ ἀρτηρίῃ, τῇ φλεβὶ δὲ τὸ ἧπαρ αἷμα· ἀμφοῖν δὲ μεγάλοιν, μεγάλα τὰ ἔγγονα αἱ φλεγμοναί. τάμνειν ὦν αὐτίκα τὰς ἐπ' ἀγκῶνι φλέβας, καὶ συχνὸν μὲν ἀφαιρέειν αἷμα, μὴ ἀθρόον δὲ, ἀλλὰ καὶ δὶς, καὶ τρὶς, καὶ τῆς αὐτῆς ἡμέρης, ὡς μεσηγὺ ἡ δύναμις ἀναλάβῃ· ἔπειτα ἐπιπλάσμασι χέεσθαι, καὶ σικύῃ ἐς τὸ ὑποχόνδριον, ἔνθα ἡ διάφυσις τῆς ἀρτηρίης, ἀτὰρ ἠδὲ μεσηγὺ τῶν ὠμοπλατέων. καὶ γὰρ καὶ τῇδε σφύξιες ἔασι. χαλάζειν τε ἀφειδέως, ἠδὲ πολλὸν ἀφαιρέειν αἷμα. οὐ κάρτα γὰρ ἐκ τῆς κενώσιος τῇδε λειποθυμέουσι ὤνθρωποι. ἰσχομένη δὲ καὶ γαστὴρ πολλόν τι τῷ ξυνήθεος κλυσμοῖσι ἐς ὄλισθον χέεσθαι μαλθακοῖσι, δριμέσι δὲ ἥκιστα. ἐπιπυρεταίνουσι γὰρ οὐδὲ ἅλμη καὶ νίτρου τῆξι. λίνου ὦν καρποῦ χυλὸς ἔσω, καὶ τῆλις, καὶ μαλάχης τῆς ῥίζης ἕψημα, καὶ ἐς πρόσκλυσιν καὶ ῥῆξιν ἱκανόν, μάλα ἄκρεα πόδες, καὶ χεῖρες τεθάλφθωσαν, γλευκίνῳ ἢ σικυωνίῳ λίπαϊ τῷ διὰ τῆς λιμνήστιδος χρίσματι. κάρτα γὰρ ψυχρὰ αὐτῶν τάδε γίγνεται. πιπίσκειν τε περὶ τῶν σιτίων, ὁκόσα οὖρον ἐξάγει, μῆον, ἄσαρον, ἀψίνθιον· ἐμπασσέσθω δὲ καὶ λίτρου· πάντων δὲ κράτιστον σικύη, καὶ κιννάμωμον, ἤν τις εὐπορῇ. γάλα τοῖσδε καὶ τροφὴ καὶ φάρμακον. ἐμψύξιος γὰρ δέονται, ἔνθα ὁκοῖόν τι πυρὸς ἐξολλυμένου, καὶ τροφῆς γλυκείης. ἀτὰρ ἡ δ' ἐν ὀλίγῳ ὄγκῳ πολλή. ταῖς δὲ μάλιστα ἐν τροφῇ τὰς ἀρετὰς ἴσχει τὸ γάλα. εὐπορείσθω δὲ νεοτόκου, καὶ ἐς δύο κυάθους τοῦ γάλακτος ἐμβεβλήσθω εἷς ὕδατος· ἄριστον δὲ καὶ τὸ τῆς βοός· δεύτερον δὲ, αἰγός. τὸ-

Febr. ardent. in Syncop. cor princip. impertit, & Jecur impert. a. at interim vires confirm. 6. potendi... mag. ... ex consuetud. Lot. ad lubricand. intendit... Febr. ex Nitr. Salsug. ... 3 calefaciant. ... 9 Nitr. inspers. Cassia omn. valentissima ... habt.

5 convolv. velut ignis 6. parva mole
7 lac bubulum. 3o. loco caprinum.

φαὶ εὔπεπτοι, τὰ πολλὰ χυλοὶ μαράθρου ῥίζης, καὶ σελίνου καρπὸς, ἐμβεβλήσθω καὶ μέλι, τὸ ὕδωρ δὲ τὸ πινόμενον, ἐχέτω τάδε. ἀτὰρ καὶ ἱδρῶτας χρὴ κινέειν, καὶ πάντα, διαπνοὰς ὑγρὰς καὶ εὐρόους ποιέειν. τέγξις κεφαλῆς ὁκοίη ἡ ἐν καύσοισι, ἐπίθημα ἐς θώρηκα καὶ μαζὸν ἀριστερὸν ὁκοῖον ἐν συγκοπῇ· κοίτη, κατάκλισις ὄρθιος, ὅκως ἴκελα πάντα τοῖσι ἐν καύσοισι ἢ αἰώρη σμικρὴ ἐς ἱδρώτων πρόκλησιν· ἤδε λουτρὸν ἢν ἐς τόδε ὑπεκκαυθῇ. οὐ γὰρ κρίσεσι τάδε τὰ πάθεα λύεται, εἰ καὶ καύσου ἔασι ἰδέαι.

1. ingred:. Foen. rad. apii sem. ... vias ...

Cubile Gestat? si incenderit sudorem

ΘΕΡΑΠΕΙΑ ΤΗΣ ΚΑΤΑ ΤΟΥΣ νεφροὺς ὀξείης νούσου, κεφ. η.

Κάποξυ μὲν ἐν νεφροῖσι φλεγμασίη· συμφλεγμαίνουσι γὰρ ἀπὸ ἥπατος ἐς νεφροὺς κραίνουσαι φλέβες τῇσι δὲ τὸ ἧπαρ· οὐ κάρτα ἐπιμήκεες ἐοῦσαι, κάρτα δὲ εὐρεῖαι, ὡς δοκέειν τοὺς νεφροὺς ἐξηρτῆσθαι ἄγχου τοῦ ἥπατος. ἀτὰρ καὶ ἰσχουρίη ἐπὶ φλεγμασίῃ γίνεται ξυμπιμπρέουσα τῷ ὀξέϊ τῆς φλεγμασίης. πίμπλαται γὰρ ἡ τῶν νεφρῶν κοιλίη ὑπὸ πλημμυρέης τῶν οὔρων οὐ διεκθεόντων· τόδε μέντοι καὶ ἐπὶ λίθων γίγνεται. ἢν φύῃ μὲν ἐν νεφροῖσι, μέζων τῆς εὐρύτητος τῶν οὐρητήρων, ἐνίζει μὲν μὴ διεξιὼν, ἀτὰρ καὶ τὰ οὖρα οὐδὲ ἐπίσχει. ἀλλὰ ἀμφὶ μὲν τῆς γενέσιος τῶν λίθων, ἐν τοῖσι χρονίοισι λελέξεται, ὅκως ἢ μὴ ξυμπήσσονται ἢ θρύπτωνται γιγνόμενοι. ἀμφὶ θερμασίης, ἥδ' ἐμφράξιος, ὁκόσα ὀξέως κλίνει, τήνδε μοι γεγράφθω. ἢν ἐνστάσιες λίθων ἔωσι ἐν τῇ φλεγμασίῃ, τάμνειν φλέβα τὴν ἔσω ἀγκῶνι, ἢν μὴ κωλύῃ τις ἡλικίη· εὔροον δὲ καὶ πολλὸν ἔστω τὸ αἷμα· οὐ γὰρ αἱ φλεγμοναὶ πρηΰνονται μοῦνον κενώσει, ἀλλὰ καὶ σφηνώσιες τῶν λίθων χαλῶνται τῇσι τῶν ἀγγείων κενώσεσι. ἀτὰρ ἤδε ἐν οὔρησι διεκθέουσι οἱ λίθοι. ἔπειτα πί-

suspendi pro = pro jecur. a, et quib? modis non concres. aut si concres- -cant, atte- -rantur ... in praesentia ... constipatio ... relaxation

-tur inter mingendum delabuntur.

Venae ad Renes a Jec: pertinentes.

E his Jecur ipsum, siquidem non longa sed admodum lata

remitt.r: Persius.

ξεσι γλυκίνου λίπαος, ἢ κυπρίνου, καὶ πυείῃσι, καὶ ἐπι-
πλάσμασι ἀνίεται τὰ μέρεα. ἀρτεμισίη δ' ἔσω ἡ βοτάνη,
καὶ σχοῖνος, καὶ κάλαμος ὁ εὐώδης ἐν τοῖς καταπλάσμασι·
ἔπειτα συκίην προσβάλλειν ἐς νεφροὺς κατ' ἰξύν, μάλιστα
δ' αὖ ἡ ἀπὸ τοῦδε τοῦ χωρείου κένωσις ὤνησε· λελαπάχθω δὲ
κοιλίη κλυσμοῖσι ὀλισθηροῖσι, γλίσχροισι μᾶλλον ἢ δριμέσι,
μαλάχης, ἢ τήλιος χυλοῖσι· ποτὲ δὲ φάρμακα περὶ τῶν σι-
τίων οὐρητικά, ὁκοῖα ἐπὶ ἥπατος λέλεκται. αὐτὰρ καὶ σιτία
ἴκελα, εὔπεπτα. κακὸν γὰρ τουτέοισι ἀπεψίη. ἄριστον δὲ γάλα,
μάλιστα μὲν ὄνου, ἵππου δὲ δεύτερον, καὶ οἶος δὲ καὶ αἰγὸς,
χρήσιμον, ὅτι γάλα. ἢν μὲν οὖν ἄποροι ἔωσι, καὶ λούειν κρέσ-
σον· ἢν δὲ μὴ, ἐς ἔψημα τῶν βοτανέων ἐνίζεσθαι, ἄχρις ὀμφα-
λοῦ τὸ ἄγγος πληροῦντα· ἢν δὲ ἐς πύον τράπηται, ὁκοίοισι χρὴ
ἐπιπλάσμασι ἠδὲ φαρμάκοισι χρέεσθαι, ἐπὶ πολλοῖσι μὲν καὶ
πρόσθεν ὑπαρχέεται· ἢν δὲ ἐνστήκῃ λίθος, πυρίῃσι μὲν καὶ ἐπι-
πλάσμασι τοῖσι αὐτέοισι χρέεσθαι· θρύπτειν δὲ τοὺς λίθους τοῖ-
σι πινομένοισι φαρμάκοισι· ἁπλαῖ μὲν, σίον τε πριονίτης αἱ
βοτάναι, ἑφθαὶ ξὺν ἐλαίῳ ἢ ὄξεϊ ἐδωδίμῳ, καὶ τῶνδε
χυλὸς προπινόμενος· ποικίλαι δὲ, τῆς βισίμου καλευμένης,
τε τῆς δι' ἐχιδνῶν καὶ κοσκίνου τοῦ θείου, ὁκόσαι τε δοκέ-
ουσι ἔμμεναι τῇ πείρῃ. κράτισται αἰῶραι τοῖσδε, καὶ σείσιες
ἐς κίνησιν καὶ πρόωσιν τῶν λίθων. κάρτα γὰρ ἐπίπονος τῶν
λίθων ἡ ἐς τὴν κύστιν ὁδοιπορίη. ἢν δὲ ἐκπέσωσι ἔνθεν, ἄ-
πονοί τε γίγνονται, οὐδ' ὄναρ δοκέειν τοῦ πόνου εἰθισμένοι· ἀ-
ταρ τε ὡς ἐξ ἀφύκτων κακῶν τὴν ψυχὴν καὶ τὰ μέλεα λύον-
ται.

2. unit. iunc. odor. Cal. ar. 3. iuxta lumbos 4. prodest 5 subducit Alv. lubric. 6. si febr. ... -horreat in Dec. herb.m hom.m sedeat. locaz vaso usq. ad umbil.m reple -to. tale. contenti. epoti med. acet. esculento. ex compositis b. hortat. c. propellen- dos. D. Concussiones e. si inde Calc. exciderint

hom. dol. experter s.t nopt. somnia qui-
-dem antea eo vacare soliti, porro
tanq.m malis desperatis liberarentur
& membra solutus evadit animus

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΚΑΤΑ ΤΗΝ κύστιν ὀξέων παθῶν, κεφ. θ.

Καὶ τῇ κύστι πάθεα ὀξέα ἴκελα τοῖσι νεφροῖσι γίγνεται, φλεγμοναὶ καὶ ἕλκεα, καὶ λίθοι, καὶ θρόμβων ἐμφράξιες, ἐφ' οἷσι ἰσχουρίη, στραγγουρίη· ἀλλὰ ὀξύτερος τῇδε ὁ πόνος, καὶ ὄλεθρος ὤκιστος. νεῦρον γὰρ πλατὺ ἡ κύστις. νεφροὶ δὲ, ὁκοῖον αἷμα λωφὸν τῆς ἥπατος ἔασι ἰδέης· ἀλλὰ καὶ αἰνότατοι καὶ οἴκτιστοι, ἔνθα μάλιστα γίγνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι. τάμνειν ὦν αὐτίκα τὸν κενεῶνα; καταιονεῖν δὲ τὴν κύστιν λίπαϊ συχνῷ, ξὺν πηγάνῳ καὶ ἀνήθῳ. ἢν δὲ θρόμβοι ἔωσι τοῦ πόνου καὶ τῆς ἰσχουρίης αἴτιοι, ὀξύμελι πιπίσκειν, ἢ πταίου μικρὸν ξὺν μελικρήτῳ ἐς τὴν διάλυσιν τῶν θρόμβων, ἠδὲ ὁκόσα οὐρήσιας προκαλέεται, καὶ βοτάνας, καὶ σπέρματα. ἢν δ' ἐξ αἱμορραγίης ὁ κίνδυνος, ἴσχειν μὲν οὐκ εἰς ἀμβολὴν τῶν δὲ μᾶλλον· ἀτὰρ καὶ ὅδε οὐχ ἥκιστα ὁ κίνδυνος. ἀρήγειν μὲν ὦν καὶ τοῖσι αἷμα ἐπέχουσι· ἀρήγει δὲ ἡ ψύξις τῆς κύστιος, ῥοδίνου καὶ οἴνου τέγξις, καὶ ἐρείων καθείλησις ἀπὸ οἰσύπου· ἐπίθημα, φοίνικες ἐν οἴνῳ δευθέντες, ξὺν ῥοιῇ, ἢ χυλῷ τοῦ ῥόος· ἢν δὲ ἐκτρέπηται καὶ τῶν ἐπιθημάτων τὰ βάρεα, καὶ τὰς μεγάλας ψύξιας, ἐκτρέπειν· χρὴ γὰρ μὴ κάρτα ψύχειν ψυχρήν τε φύσει καὶ λεπτὴν ἐοῦσαν τὴν κύστιν· καταχρίειν δὲ γλαυκίνῳ, ἢ ἀκακίῃ, ἢ ὑποκυστίδι, ξὺν οἴνῳ. σπόγγοισι δὲ, ἢν μὴ σφόδρα ἐπείγῃ ἡ αἱμορραγίη, μὴ χρέεσθαι. τροφαὶ σιτώδεες, εὔπεπτοι, εὔχυμοι, οὐρητικαὶ, ὁκοῖαί μοι ἐπὶ νεφροῖσι λελέχαται· γάλα, οἶνος γλυκὺς, θηεινός, ἢ σκυβαλίτης. φάρμακα πινόμενα, οὐρητικὰ, εὐώδεα, εὔροα, καὶ τἄλλα τὰ τοιαῦτα· ἄριστον δὲ κύστι τέττιγες, ἐφ' ὥρας μὲν ὠμοὶ, ἔδεσμα· ἔξωροι δὲ ξηροὶ, λεῖοι ξὺν ὕδατι. ἔστω δὲ καὶ τῆς ῥίζης τῆς νάρδου βαιὸν ξὺν τοῖσι τέττιξι ἀφεψῆσι. τοῖσι αὐτέοισι ἐγκαθίζεσθαι αὐτὴ

balnei loco, ad relax^m: desid^t.

λουτρὸν ἐς ἄνεσιν τῆς κύστιος. ἢν δὲ λίθων ἔμφραξις ἐπισχῇ τὴν οὔρησιν, τῷ ὀργάνῳ τῷ καθετηρίῳ ὠθεῖν τὸν λίθον, ἡ δὲ ἄγχειν τὸ οὖρον, ἢν μὴ ἔωσι φλεγμοναί. ἐπὶ γὰρ φλεγμονῇσι, οὔτε ὁ πόρος δέχεται τὸ ὄργανον, πρὸς δὲ τιτρώσκονται τῷ καθετῆρι. ἢν δὲ ἄπορος μὲν ᾖ ἡ τοῦδε ἰητρείη, θνήσκῃ δὲ ὀδύνῃσι ὥνθρωπος, τάμνειν τὴν τειχάδα, καὶ τὸν τῆς κύστιος τράχηλον, ἐς τε τὴν τῶν λίθων ἔκπλωσιν, καὶ τὴν τῶν οὔρων ἔκχυσιν, καὶ μάλιστα μὲν ἀκέσασθαι ἐς ὠτειλὴν ἄγοντα τὸ τρῶμα. ἢν δὲ μὴ, ῥοιάδα γενέσθαι τοῦ πόνου βέλτιον, ἐς τὸν αὖθις τοῦ ἀνθρώπου βίον, ἢ τῇ ὀδύνῃ οἰκτίστως θανεῖν.

2. reg. meatus Instr^m admitt 0 præterea 3. locum sub Testic^s qui πλῆγμας vocalur 4. medendum est perforando Cicatricem. sin, vulnus, effluv^m Puris 5 q^m torm-entis miserrimo mori

ΘΕΡΑΠΕΙΑ ΥΣΤΕΡΙΚΗΣ ΠΝΙΓΟΣ

κεφ. ι.

& speriendo. vel latq. animat ex olfactu affic^r.

Ἡ Υστέρη τῇσι γυναιξὶ, ὑμένων ἀποτάσιας ἔνθα καὶ ἔνθα κατὰ λαγόνας ἴσχει· ἀτὰρ ἥδε ζώου πάθη, ἐν ὀσφρήσει. ἵεται γὰρ ἐπὶ τοῖσι εὐώδεσι πρὸς ἡδονὴν, καὶ τὰ κάκοσμα καὶ ἀτερπέα, ὑπὸ ἀηδόνος φεύγει. ἢν μὲν ὦν τῶν ἄνω τι λυπῇ, προσιόντων γυναικηίων ἔξω· ὧν δὲ κατὰ στόμα τι αἰ εἴη, ὀπίσω χάζεται, ἡ δὲ αὖ ἄνωθεν ἴῃ ἢ αὖ ποτε, καὶ ἔνθα καὶ ἔνθα, ποτὶ σπλῆνα καὶ ἧπαρ, ξυνδιδοῖ δὲ τὰ ὑμένια ἐς ἀπόστασιν καὶ ξυναγωγὴν, ὅκως νηὸς λαῖφεα. πάσχει δὲ τάδε καὶ ὑπὸ φλεγμασίης. καὶ γὰρ προπετεστέρη τῷ πάθεϊ καὶ τῷ ὄγκῳ τοῦ αὐχένος γίγνεται. ἡ γὰρ κατὰ πυθμένα φλεγμασίη, ἄνω ῥέπει. ἢν μὲν ἐς πόδας, ἔξωθεν. ἀσηρὸν μὲν ὦν καὶ ἀλεγεινὸν καὶ ἀτερπές· δύσχρηστον δὲ καὶ βαδίσαι καὶ ἐς πλευρὴν κατακέεσθαι, καὶ ὑπτίην, ἢν μὴ τῷδε φλεγμήνῃ ἡ γυνή. ἢν δὲ ἄνωθεν φοιτῴη, ὡς ὀξύτατα μὲν τὸν ἄνθρωπον ἀπέπνιξε, πιέζει δὲ ἀγχόνῃ τῆς ἀναπνοῆς. οὐδὲ γὰρ οὐδὲ φθαίνει πονέειν τι καὶ βοᾶν τοὺς παρόντας κικλήσκειν

ἀρωγοῖς

Ut^s contin^r membr. extentis sec^m ilia 2. appetit. 3. ab aversat^e refugit. 4. offendit ... lia prodit Ut^s 5. q^d ori vulvæ appon^r surgit recedit 5. cedit membr. extensioni contract. inst. velorum navis 6. extra propendet 7. in fundo.

& molestares, horrenda 9 supina. 10. ... -rent

ἀνθρώπους. τῇσι γὰρ ἀναπνοῆς ἐπίσχεσις θᾶττον πολλῇσι· τῇσι δὲ φωνῆς. εἰκὸς ὦν τοῖς ἐν τουτέοισι καλέσαι τὸν ἰητρὸν, πρὶν τὴν ἄνθρωπον θανεῖν· ἢν δή κοτε ἐκ συντυχίης ἥκῃς, γνόντα τὴν φλεγμονὴν χάσαι φλέβα, μάλιστα μὲν τὴν ἐπὶ τῷ σφυρῷ· ἢν δὲ μὴ εὔροος ἔῃ, τὴν ἐπ' ἀγκῶνι· ἐπαφαιρέειν δὲ ἀπὸ τοῦ σφυροῦ. ποιήσειν δὲ τὰ ἄλλα, ὁκόσα ἂν καὶ ἄνευ φλεγμασίης ὑστερικῇ πνιγί. δεσμοὶ χειρῶν καὶ ποδῶν σφίγγοντες, ἄχρι ναρκώσιος, ὀσμὴ κακωδέων, πίσσης ὑγρῆς, τριχῶν ἐρείου κεκαυμένων· λύχνου φλογὸς ἐσβεσμένης, καστορίου· πρὸς τῷ κακώδεϊ, καὶ τὰ νεῦρα ψυχθέντα θάλπειν. οὖρον παλαιὸν καὶ τὴν αἴσθησιν ἐξανίστησι κάρτα τοῦ νεκρώδεος, καὶ τὴν ὑστέρην κάτω διώκει. τοῖς ἑδρῶν καὶ τοῖσι προσθέτοισι εὐώδεσι ἐς τὴν χώρην ἐπιβλητέον τῆς ὑστέρης, μύρῳ ὁκοῖον ἂν ἔῃ προσηνὲς, ἤδε ἄδηκτον τὴν ἁφὴν, νάρδον, ἢ βάκχαρι τὸ αἰγύπτιον ἢ τὸ διὰ τῶν φύλλων τοῦ μαλαβάθρου, τοῦ δένδρεος τοῦ ἰνδικοῦ, ἢ κινάμωμον κοπὲν ξὺν τῷ εὐόσμῳ τινὶ λίπαϊ· ἐγχέειν δὲ τάδε, τοῖσι γυναικείοισι χώροισι. ἀτὰρ ἢν δὲ ἔγχυτον ἐκ τῶνδε ξυνθῇ, ἐγχέειν τῇ ὑστέρῃ· διαχεῖν δὲ καὶ τὴν ἕδρην φυσέων ἀγωγά· ἤδε ὑποκλύζειν μὴ δριμέσι, μαλθακοῖσι, γλίσχροισι, ὀλισθηροῖσι, ἐς τὴν τῶν κοπρίων ἔξοδον μοῦνον, ὅκως ἡ χώρη τῆς ὑστέρης, λαπαρὴ γίγνηται, ἀλθαίης χυλῷ, ἢ τήλιος μηλίνῳ δὲ, ἢ σάμψυχον ξὺν τῷ λίπαϊ ἑψέσθω· ἢν δὲ βίης ἢ λαπάξιος ἡ ὑστέρη δέηται, χερσὶ μὲν πιέζειν τὸ ὑποχόνδριον γυναικὸς εὐτόνου, ἢ ἀνδρὸς εὐαφοῦς, ἢ διαζῶσαι ταινίαις σφίγγοντα· ὅκως τε διελάσῃ τὸν χῶρον, ὡς μὴ αὖθις ἄνω θέειν· πταρμοὺς ποιέοντα ἐπιλαμβάνειν τὰς ῥῖνας. τῷ γὰρ πταρμῷ, καὶ τῇ ἐντάσει μετεξετέροισι ὑστέρη ἐς χώρην ἥξειε. φυσῆν δὲ ἐς οἷα γε ῥινῶν, στρουθίου ῥίζης, ἢ πεπέρεος, ἢ τοῦ κάστορος· προσβάλλειν δὲ σικύας κούφας, μηροῖσι, λαγόσι, ἰσχίοισι, βουβῶσι, ἕλκοντα τὴν ὑστέρην· προσβάλλειν δὲ καὶ πρὸς, ἐς ἰξὺν, ἐς

ex attrahendae gratia

parest
ex casu
in Talo V.S.
repetere
constring.:
lig: Pilis
exsuscitat
sens. mort!
2 porro.
3. q.d. minime
vellicent sens
4 lig.: ex his
confectus un-
mittit. Vulvis
5 vacua f.!
constent ex
6. depulsione
7. man. fam.
validae, Viri
lenioris aut
fasciis astr.
sucking?
ut locus in
angustum
redigi neg. su-
=1um recurre
-re pot.: ut.

τὸ μεσηγὺ τῶν ὠμοπλατέων, τῇ πνιγὶ ἀρήγοντα· ἢν δὲ ἐπὶ φλεγμονῇ πνίγηται, καὶ διασχάσαι τὴν ἐπὶ τῷ κλενὶ οἰκευμένην φλέβα, καὶ ἀφαιρέειν συχνὸν αἷμα. ἀνατρίψιες τοῦ προσώπου, τιλμοὶ τριχῶν, ξὺν ἐμποιήσι ἐς ἀνάκλησιν· ἢν δὲ καὶ μικρὸν ἐπανενέγκωσι, ἐς ἀφέψημα ἀρωμάτων ἐνίζειν, καὶ εὐώδεα θυηλὰ ὑποθυμιῆν· πιπίσκειν δὲ περὶ τῶν σιπίων τοῦ κάστορος, καὶ τῆς ἱερῆς μικρὸν ξὺν τῷ κάστορι· καὶ ἢν ἐπανενέγκῃ, λούειν, καὶ ἐς ὥρην ἐς τὰ ξυνήθεα τρέπειν· μελεδαίνειν δὲ τὴν ἄνθρωπον, ὅκως ἄγηται τὰ ἐπιμήνια εὔροα.

Vena ad pubem perting. 2 frictio, vellicat.: 3 comprimantur membra ad revoc.: 4. suffumigetur 5 dandae opera.

ΘΕΡΑΠΕΙΑ ΣΑΤΥΡΙΑΣΕΩΣ,

κεφ. ια.

Τῶν ἐν τοῖς αἰδοίοισι νεύρων ἡ φλεγμασίη ὄρθιον ἀνίσχει τὸ αἰδοῖον ξὺν ἐπιθυμίῃ καὶ λύπῃ ἀφροδισίων ἔργων πρηΰξιος. ἐντάσιες δὲ γίγνονται σπασμώδεες, οὐδαμὰ πρηϋνόμεναι· ἀλλὰ καὶ ἐπὶ τοῖσι ἀφροδισίοισι ἀμάλθακτος ἡ ξυμφορή. προσσημαίνονται δὲ καὶ τὴν γνώμην, τὰ πρῶτα μὲν ἐς ἀναισχυντίην, ἐπὶ παρρησίῃ τοῦ πλώματος. θαρσέας γὰρ σφέας ποιέει ἡ ἀκυείη τῆς ξυννοσίης· μετέπειτα δὲ ἐπὴν ἀνηλγωφήσωσι, εὖτ᾽ ἂν σφίσι ἡ γνώμη τέλεον μίμνῃ. πάντων ὧν εἵνεκα, τάμνειν φλέβα τὴν ἔσω ἀγκῶνι, καὶ τὴν ἐπὶ τῷ σφυρῷ, καὶ πολλὸν ἀφαιρέειν, καὶ πολλάκις. οὐδὲ γὰρ ἄκαιρον νῦν λειποθυμίην ἐμποιέειν, ἐς τε νάρκην τῆς γνώμης, καὶ ἐς τὰς τῆς φλεγμασίης ξυνδόσιας, καὶ ἐς τὰς τοῦ θερμοῦ τοῦ κατ᾽ αἰδοῖον πρηΰνσιας. αἷμα γὰρ πολλὸν, θερμασίης μὲν καὶ τόλμης ὄξαψις καρτερή· φλεγμασίης δὲ τροφή, καὶ ἐσχάτου δὲ γνώμης καὶ ἀταξίης ἔκκαυμα· καθαίρειν δὲ καὶ τὸ ξύμπαν σκῆνος φαρμάκῳ τῇ ἱερῇ. οὐ γὰρ καθάρσιος δέονται μοῦνον, ἀλλὰ καὶ φαρμακίης προσηνέος. χρὴ μέντοι τάδε ἀμφό-

pudendi pen^m: 3. dol. inter coeund

2e Venêr audaces 3 libido loctus ensat. 4 quidverit morb.

5. ad mitig^m 6. vehementer incendit

leni medicatione & utrumque mostrato opera petest.

ἱερὴ δύναται· καταπλάσσειν δὲ τά τε αἰδοῖα καὶ τὰς ἰξύας, καὶ τὴν πληχάδα, καὶ τοὺς ὄρχιας εἰρίοισι τοῖσι ἀπὸ οἴος ῥυπῶσι· ῥοδίνῳ δὲ καὶ οἴνῳ διαίνειν χρὴ τὰ εἴρια, καὶ τέγγειν τὰ μέρεα πολλόν τι μᾶλλον τάδε καταιονοῦντα, ὅκως μήτε θάλψις ἐκ τῶν εἰρίων ἔοι, ἀτὰρ ἡ ἔμφυτος θέρμη ὑπὸ ψυχρῆς δυνάμιος τῶν χυμῶν πρηΰνηται. τοιάδε χρὴ καὶ τὰ ἐπιπλάσματα τιθέναι, ἄρτῳ ξὺν ἀρνογλώσσου χυλῷ τῇ βοτάνῃ, καὶ στρύχνῳ, καὶ σέριδι, καὶ φύλλοισι μήκωνος, καὶ τοῖσι ἄλλοισι, ὅσα νάρκην καὶ ψύξιας ἐμποιέει. ἀτὰρ καταχρίειν τοῖσι ἰκέλοισι τὰ αἰδοῖα καὶ τὴν πληχάδα, καὶ τὰ ἰσχία, κωνείῳ ξὺν ὕδατι, ἢ οἴνῳ, ἢ ὄξεϊ, μανδραγορίῃ, ἀκακίῃ, καὶ σπόγγοισι ἀντὶ τῶν εἰρίων χρέεσθαι. μεσηγὺ δὲ ὑποκλύζειν μαλάχης ἑψήματι, καὶ ἐλαίῳ καὶ μέλιτι· δριμὺ δὲ παῦ. ἀντερειδέσθωσαν σικύαι κατ' ἰσχίου, ἢ ἤτρου. ἄρισται δὲ καὶ βδέλλαι, νέρθεν ἑλκύσαι αἷμα· καὶ ἐπὶ τοῖσι τρώμασι ἐπίπλασμα, αἱ ψίχες ξὺν ἀλθαίῃ· ἔπειτα ὀνίζειν ὕδατι ἀρτεμισίης, ἐλελισφάκου, κονύζης ἑψήματι· καὶ ἢν τ' ἐν προσωτέρῳ μὲν ᾖ μήκεϊ χρόνου, μὴ κατὰ λόγον δὲ τὸ πλῆθος ἐνδιδῷ, δέος δὲ σπασμοῦ· μάλα γάρ τι ἐπὶ τάδε σπῶνται· μεταβάλλειν χρὴ τὴν θεραπείην τοῖσι θερμαίνουσι· χρέος μὲν γλευκίνου, ἢ σικυωνίου ἀντὶ ῥοδίνου· εἰρίοισι δὲ καθαροῖσι καὶ ἐπιπλάσμασι ἀλεαίνουσι. ἐμάλαξε γάρ κοτε τῶν νεύρων τὰς πρήσιας ἡ τοιήδε θεραπείη. ἀτὰρ καὶ πιπίσκειν τοῦ κάστορος ξὺν μελικρήτῳ. τροφαὶ ἄτροφοι, ψυχραί, βραχέα μὲν τὰ σιτώδεα, τὰ πλεῖστα λάχανα, μαλάχη, βλίτον, θριδακίνη, ἑφθὴ κολοκύντη, σίκυος ἑφθός, πεπέων ὡραῖος, οἴνου δὲ καὶ κρεῶν ἐς μέσφι πολλῆς ἀναλήψιος φειδώ. οἶνος γάρ, θάλψις μὲν ἐπὶ νεύρων, μάλθαξις δὲ ψυχῆς, ἐπανάκλησις δὲ ἡδονῆς, γονῆς χύσεις, καὶ πρόκλησις ἀφροδισίων. τάδε μοι ἐς τὰ ὀξέα γεγράφθω ἄκεα. χρὴ δὲ καὶ τὸν αὐτὸν τινὰ ξυνευπορέειν, μὴ πάντα ἀλλοτρίῃ ξυγγραφῇ προσίσχοντα τὸν νόον.

obvolv. 1. lanis ab ovo succid 2. intingend 3. multa derf. mad efaciend 4. Plantag. solano.

cicuta c. Ag.

interim & vitentur affig. Cuc. cox. Hab.: 5 Hirud. ex inferiori Part. & ex micis Panis 5. salvia i. mundicia m. mundis lanis. & cale facient. Catap. mitigat enim inflam. n. ex. fum. rarius

o. lactuca, Cucumb. Cucumero elixis & pono maturo p. et Carni parcend usq. homo plurim. a Morb. refectus.

q. medicus ipse debet conquaerendo, neq. in alienos Comment. animum intendere.

οὕτω τὰ ὀξέα πάθεα γίγνεται, ὡς ἐν τάξι τε τοῖσι γεγραμμένοισι καὶ μειούσι, ἢ ἅπασι χρέεσθαι.

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

χρονίων νούσων θεραπευτικὸν βιβλίον πρῶτον.

ΠΡΟΟΙΜΙΟΝ, κεφ. α.



Ν τῇσι χρονίῃσι νούσοισι ἡ ἀμβολὴ τῆς ἰητρείης, κακόν. ὑπὸ ἀμβλακίης γὰρ ὀκέλλει ἐς ἀνήκεστα πάθεα. φυσίωσις ἄρ' ὧδε ἴσχει, ὡς μὴ ῥηιδίως ἀποφοιτῆσαι· ἢν ἐσβάλλῃ ἅπαξ· ἢν δὲ καὶ ἐνδηθύνῃ, χρόνῳ καρτερὰ ἔσται, καὶ ξυναποθνήσκειν γίγνεταί κοτε, καὶ τὰ σμικρὰ μεζόνων ποιέεται διαδέξιας· κἢν τὸ πρόσθεν ἐς κίνδυνον ἀσινὲς ᾖ, ὁ τόκος τῶνδε γίγνεται ὀλέθριος. χρὴ ὦν μήτε τὸν νοσέοντα σιγῇ, ἢ αἰδοῖ τοῦ ἐλέγχου τῆς νούσου, μηδὲ ὑποδι-

3. erubescat deprehendi 4. metu defugi:

δρήσκειν δέει τῆς ἰητρείης, μήτε τὸν ἰητρὸν καταμβλακεύειν. ἄμφω γὰρ ἐς τὸ ἀνήκεστον ξυνάδει. μετεξέτεροι δὲ τῶν καμνόντων, ὑπ' ἀγνωσίης τε τῶν παρεόντων, καὶ τῶν αὖθις ἐσσομένων, ἐς τέλος ξυνδιαιτέονται τῇ νούσῳ. ἐπὶ γὰρ τοῖσι πλείστοισι, οὔτε ὀλιγωνέονται, οὔτι ὀρρωδέουσι θάνατον. διὰ τάδε ὦν ἰητρῷ σφέας αὐτοὺς οὐδὲ ἐπιτρέπουσι. πίστις δὲ τουτέων, κεφαλαίη, ἧς ἀμφὶ, πρότερον φράσω.

ΘΕΡΑΠΕΙΑ ΚΕΦΑΛΑΙΗΣ, κεφ. β.

Κεφαλὴ δὲ ὁκόσον ἐς ζωὴν ἀναγκαῖον, τοσόνδε νούσῳ χαλεπωτάτη, καὶ τῶν ἀμφὶ τήνδε νούσων, ἡ μὲν ἐσβολὴ ἐπιπαθὴς ἐπὶ σμικρῷ ἄλγεϊ, καὶ ἤχοισι ὤτων, καὶ βάρεϊ· εἰ δὲ αὔξησιν προσλάβοι, καὶ τὰ τέλη ὀλέθρια. μὴ ὦν μηδὲ τὰ σμικρὰ ὑπερορῆν ἄλγεα. σμικροῖσι γὰρ καὶ τοῖσι ἄκεσι μετεξετέροισι ἰηθῆναι· τὴν δὲ πρόσω μὲν ἥκει χρόνου· μέζω γὰρ προσεπιγίγνεται ἄχθεα· τάμνειν τὴν ἐπ' ἀγκῶνι φλέβα· πρόσθεν δὲ δυοῖν ἡμέραιν, οἶνον πιπίσκειν· ξυντεκμαιρόμενον δὲ τὴν δύναμιν, τὸ πλῆθος ἀφαιρέειν. ὅρισον δὲ μὴ ἐσάπαξ ἣν ἡ δύναμίς τε ἀνέχηται τὴν πληθὺν τῆς ἀφαιρέσιος, ξυνεχές τε τοῖσι αἰτίοισι μοχλεύηται ἡ νοῦσος. ὧδε μέντοι πάσῃσι τῇσι χρονίῃσι νούσοισι ξυνῳδόν· μεσηγὺ δὲ τριῶν ἢ τεσσάρων ἡμερέων, ἁδροτέρως διαιτᾶν, ἔπειτα τὴν ἱερὴν τὸ καθαρτήριον ξὺν μελικρήτῳ πιπίσκειν. ἀπάγει γὰρ μάλιστα ἥδε ἀπὸ τῆς κεφαλῆς τῆς νούσου τὴν τροφήν. πλῆθος δὲ τοῦ φαρμάκου, ὁκόσον τέσσαρες, ἢ πέντε ὁλκῆς δραχμαί· κἢν εὖ καθαίρηται, λούειν τε καὶ οἶνον διδόναι, καὶ τὴν δύναμιν αὔξειν· ἔπειτα αὖθις τάμνειν φλέβα τὴν ἐπὶ τοῦ μετώπου τὴν ὀρθήν. κυριωτάτη γὰρ ἥδε ἡ ἀφαίρεσις· τὸ δὲ πλῆθος ὅσον κοτύλης, ἢ σμικρῷ πλεῖον. λύειν δὲ μὴ περαιτέρω· κενεαγγέειν γὰρ οὐ χρή· ἔπειτα τὰς κό-

cunctandum ad morb. insanab.m consecavit. 3. huic testim.o 4 de qua

acceßio tolerabilis exitus perniciosi. 2 in vetustatem incederint 1. ubi sustin. 2 assiduo rem: mov. idem convenit liberalius mensura ʒv. Vena recta frontis 2 heminam

4. non ulterius convell. vires. exanire non convenit vasa –

μας ξυρῷ ἀφαιρέοντα, σικύην τῇ κορυφῇ προσβάλλειν προ-
τέρην· τὴν δ' ἑτέρην τὴν μεσηγὺ τῶν ὠμοπλατέων ἐρείδειν ἀναί-
μακτον, χαράζειν τε τὴν ἐπὶ τῆς κορυφῆς ἀφειδέως ἔς τε πλῆ-
θος ὁλκὴν, καὶ ἐς τὸ τοῦ βάθεος ἐντομήν. κεφαλαίην γὰρ τὰ μέ-
χρις ὀστέων ὀνίνησι τμήματα. ἣν δὲ ἐς ὠτειλὴν ἥκῃ τὰ τρώ-
ματα, τὰς ἀρτηρίας ἐκτάμνειν. διπλαῖ δὲ, αἱ μὲν κατόπιν εἰ-
σὶ ὤτων σμικρόν τι προσωτέρω, δῆλαι δὲ τῇσι διασφύξε-
σι· αἱ δὲ τοῦ ὠτὸς ἐς τοὔμπροσθεν, αὐτέων πλησίον. προφαίνε-
ται γὰρ τῷ ἀποτέρῳ· ἀτὰρ καὶ αἵδε δῆλαι διασφύξεσι. τά-
μνειν δὲ πρὸς τοῖς ὀστέοις τὰς μέζονας. αἵδε γὰρ ὀνήϊσται. ἐπικέ-
αται καὶ ἕτεραι ἑκάστῃσι κάρτα λεπταὶ, ἃς οὐδὲ ὄφελος ἐκ-
τάμνειν. ὁ δὲ τρόπος ἐν τῇσι χειρουργίῃσι λέλεκται. μετὰ δὲ τὸ ἄ-
κος, κεφαλαίῃσι, καὶ ἐπιληψίῃ, καὶ σκοτώμασι, καὶ ξυμβλήδην
ἁπάσῃσι τῇσι τῆς κεφαλῆς νούσοισι, ἐπὶ πᾶσι δὲ φλέγμα
ἄγειν χρὴ προκενώσαντα τὴν γαστέρα, ἢ καταποτῷ ὑπηλάτῳ, ἢ
κλυσμῷ· ἄλλοτε μὲν ἐκ ῥινῶν φαρμακοῖσι, ἄλλοτε δὲ διὰ στόμα-
τος τοῖσι ἄγουσι φλέγμα. εἴδη δὲ, φαρμακῶν μὲν, πέπερι, στρού-
θιος ῥίζα, κάστορος τοῦ ὄρχιος· τάδε καὶ ξυνῇ ἐς λεπτὰ δὲ κό-
ψαντα, καὶ σήσαντα, καλάμῳ ἐμφυσῆν, ἢ καυλῷ πτεροῦ χη-
νὸς παχεῖ. ἀγριώτερον δὲ τῶνδε καὶ βιαιότερον εὐφόρβιον
ξὺν τινὶ τῶνδε μιχθέν· ἀτὰρ καὶ ἐλαίοισι δὲ μίσγεται γλευκίνῳ,
σικυωνίῳ, ἢ τῷ ἀπὸ στύρακος μύρῳ. ὑγρὸν δὲ γίγνεται κάρτα,
ὡς ἔκχυτον· ἐγχέεται δὲ διὰ τοῦ ῥινὸς γ' αὐλοῦ. δίδυμοι δὲ οἵ-
δε, ξυμφυέες ἀπὸ μιῆς εὐροῆς, ὡς ἐσάπαξ ἀμφοτέροισι ἐγ-
χέειν. οὐ γὰρ ἀνασχετὸν ἡ διάστασις ἑκατέρου μυκτῆρος ἰδίῃ καὶ
ἰδίῃ. πιμπρέαται γὰρ ἡ κεφαλὴ αὐτίκα, καὶ δριμὺ ἄλγος αἱρέει.
τὰ δὲ διὰ τοῦ στόματος ἄγοντα φλέγμα, σίνηπι, κόκκος ὁ τῆς
κνίδης, πέπερι, σταφὶς ἀγρίη· τάδε ξὺν ἀλλήλοισι καὶ ἰδίῃ. ἐπεὶ
δὲ καὶ τῷ μασσήσασθαι μὲν αὐτὰ, καὶ τὸ πτύειν ξυνεχές ἐστι, καὶ
ὕδατι ἢ μελικρήτῳ, ἢ ὀξυκρήτῳ μίξαντα διδόναι, κλύζειν

novaculo crinib. rasis affigito sine scarif. ad ossa prius remed. a. pone aures paululum ulterius; in priori parte auris aliae prope latitragum reperiuntur b. prope ossa c. utrisq. d. sum̃atim e. med. devorato. f. commisceatur g. canto pen-nae anserinae crasso. h. ung. ex styr. i. per nasi fistulam. k. ambo ab uno canalo derivato ita ut utriq. simul una vice immitti pot. neq. enim tolerari pot. alterutriusq. naris sigillatim dilatatio l. Postea profundiores parti incid. & scalificatio liberaliter, ut sang. attrah.

τε τὸ σῶμα, καὶ ἐς τὰ παρίσθμια παρώσαντα ἀνατάσει τοῦ αὐχένος, τῷ τῆς ἐκπνοῆς πνεύματι κλύζειν· ἐπὴν δὲ ἐς ὅσον θέλῃς τὸ φλέγμα ἀγάγῃς, λούειν καὶ καταιονεῖν τὴν κεφαλὴν κάρτα πολλῷ θερμῷ ὕδατι ἐς διαπνοήν. ἰσχυραὶ γὰρ γίγνονται ἐφιδρώσιες. δεῖπνον εὐτελὲς ἔστω δὲ καὶ οἶνος ἐς ἀνάκλησιν τοῦ στομάχου· μάλα γάρ τοι καὶ ὧδε πονέει. ἐπὴν δὲ μεσηγὺ τὴν δύναμιν ἐδράσῃς, κλυσμῷ χρέω τῷ ξυνήθεϊ, λίτρου πολλὸν ἐμπάσσων, ἢ ῥητίνης τῆς ἀπὸ τῆς τερμίνθου τοῦ δένδρεος ἐντήκων ὁλκῆς δραχμὰς δύο· ἐς δὲ τὴν ἐπιοῦσαν ἡμέρην αἷμα τῆς ῥινὸς ἔνδον ἀφαιρέειν, ὡς εἴσω παρωθεῖται τὸ ὄργανον, κατειάδιον εὐμῆκες, ἢ τὸ καλεόμενον σορωύη, ἢ εἴ τις ἐλλειπῶς πρὸς τάδε ἔχει, χηνὸς χρὴ πτεροῦ τοῦ καυλοῦ τοῦ παχέος ἀποξύσαντα τὰ μικρὰ τὰ νεῦρα ἐς ὀδόντα, ὅκως πρίστηρα. καὶ τόδε ἐς ῥῖνα καθιέναι, μέσφι τῶν ἰσθμοειδῶν· ἔπειτα ἀμφοτέρῃσι χερσὶ κινέειν, ὡς ξυγχαράσσοιτο ὑπὸ τῶν ὀδόντων ὁ χῶρος. ῥηϊδίη δὲ καὶ πολλὴ τοῦ αἵματος ἡ φορή. φλέβες γὰρ ἰσχναὶ τῇδε κραίνουσι, καὶ τὰ σώματα μαλακὰ καὶ εὔτμητα. ἔασι δὲ καὶ τοῖσι δημότῃσι πολλοὶ τῆς ἐκχαράξιος οἱ τρόποι, καὶ βοτάνῃσι βηχίῃσι καὶ φύλλοισι δάφνης ξηροῖσι, ἐνθέντες τάδε, ἢ τοῖσι δακτύλοισι κινέειν εὐτόνως. κενώσαντα δὲ ὁκόσον χρή· ἔστω δὲ πλῆθος ἐς κοτύλης τὸ ἥμισυ· μάσσειν σπόγγοισι καὶ ὀξυκρήτῳ, ἢ ξηρόν τι ἴσχαιμον ἐμφυσῆν, κνηκίδα, ἢ σχιστὴν στυπτηρίην, ἢ βλαύστιον. ἢν δὲ ἐπὶ τουτέοισι ἡ κεφαλαλγίη μίμνῃ, ἤντε ἀποπαύηται, αὐτὸν χρὴ ἐς τέλος ἥκειν τῆς ἰήσιος. φιλυπόστροφον γὰρ κακὸν, καὶ ἐνεδρήϊζον τὰ πολλὰ φωλεύει. χρὴ ὦν ἀφαιρέοντα τὰς κόμας ξυρῷ· καὶ γὰρ τόδε κεφαλῇ ὀνήϊστον· καίειν πυρήνῃσι καυτήρων, ἐπιπολῆς μὲν, ἐς μύας· ἢν δὲ μέσφι ὀστέου ἐθέλῃς, ἀπάνευθεν καὶ τῶν μυῶν. μύες γὰρ καυθέντες, ἔασι σπασμῶν προκλήσιες. κἢν μὲν ἐπιπολῆς καύσῃς, οἶνον εὐώδη λευκὸν ξὺν ῥοδίνῳ καταιονεῖν δίς. ὀθόνην δὲ χρὴ τέγξαντα ἐπι-

πεπαίνουσι τῇσι ἐσχάρῃσι, μέσφι ἡμέρης τρίτης· ἢν δὲ βαθεῖαι ἔωσι αἱ ἐσχάραι, πρὸ τουτέου χρὴ κόμμι ξὺν ἁλὶ τρίψαντα, ἢ δὲ ἐς ὀθόνιον ἐγχρίσαντα ἐπιθέναι· τῇ δὲ τρίτῃ κηρωτὴν ἐκ ῥοδίνου ἐπὶ τοῖσι ἐπιπολαίοισι, ἢ φακὸν ξὺν μέλιτι, ἐπὶ τῇσι βαθείῃσι ἐσχάρῃσι ἐπιθέναι· ὁκόσα δὲ ἐπὶ ὠτειλῇ φάρμακα, ἄλλῃ μοι γέγραπται. ἔταμον τινὲς ὑπὲρ μέτωπον κατὰ τὴν στεφάνην τὸ δέρμα ἄχρις ὀστέου, καὶ τόδε ἐπιξέσαντες, ἢ ἐπικόψαντες μέσφι διπλόης, ἐς σάρκωσιν ἤγαγον. οἱ δὲ καὶ ἐς τὸ βάθος τοῦ ὀστέου μέσφι μήνιγγος. εὔτολμα δὲ τὰ ἄκεα. ἀλλὰ χρὴ ἰδεῖν, κἢν ἐπὶ πᾶσι μὲν ἡ κεφαλαίη ἐπιμίμνῃ, ὁ δὲ νοσέων εὔθυμος, ἢ ὁ τόνος τοῦ σώματος ἀγαθός. ἢν ἐκ προσαγωγῆς ἔωσι, γυμνάσια ὀρθὰ ἐς στέρνα, καὶ ὤμοις, χειρονομίη, ἁλτήρων βολή, ἔξαλσις, καὶ ἡ ξὺν εὐπαιδεύτοις ἐν τούτοις ἀνείλησις· τρίψις τὰ πρῶτα καὶ τὰ ὕστατα σκελῶν, κεφαλῆς δὲ ἐς μέσον. πιττοκοπίη τῷ ἐμπάστῳ ξυνεχής· φοινίσσειν δὲ καὶ τὴν κεφαλήν, ἄλλοτε μὲν σινήπι ξὺν ἄρτῳ διπλόῳ ἐγχρίοντα, ὡς μὴ ἀφόρητον εἴη τὸ πῦρ· ἄλλοτε δὲ φάρμακα ξυ ἀλείφοντα, ὡς τὸ ξύνθετον τὸ διὰ τῆς λιμνήστιδος καὶ εὐφορβίου, καὶ πυρέθρου. ἔχει δὲ καὶ ἄνοδον πρὶν τὸν ἐν καιρῷ πόνον, καὶ ἐς μόχλευσιν τῆς ῥίζης τοῦ κακοῦ, θαψίης ὁ ὀπός, καὶ τὰ ξὺν τῇδε φάρμακα, ὁκόσα ἐξοιδαίνει τὸ δέρμα, καὶ ἰόνθοισι ἴκελα ἐκφύει βλαστήματα. δίαιται δέ, ἡ μὲν ἐφ' ἑκάστῳ τῶν ἀλγέων, λεπτή, ὀλιγοποτίη, καὶ ὑδροποτίη ἐπὶ πρόσθεν μάλιστα ἄκεός τινος· ξύμπαν δὲ δριμέων μὲν ἄφεξις, κρομμύων, καὶ σκορόδων, καὶ ὀποῦ τοῦ σιλφίου, σινήπιος δὲ μὴ πάγχυ. καὶ γὰρ τὸ δριμὺ αὐτέου, πρὸς τῇ τοῦ στομάχου ἀρετῇ, καὶ ἐς κεφαλὴν οὐκ ἄχαρι, φλέγμα χέον καὶ διαπνέον, ἢ διηθοῦν κάτω. ὀσπρίων κάκιστον κύαμος, καὶ ἐς τὰ ὧδε ἴδεα, πισοί, καὶ ὦχροι, καὶ δόλιχοι· δεύτερον, φακοί, οἵ γε ἔχουσι μέν τινας ἀρετάς, πέψιός τε καὶ ἐκκρίσιος, κεφαλῆς δὲ πλήσμιον καὶ ὕπνου ποιητικόν· πλὴν ἑψηθέντες ξὺν πεπέρι, οὐκ ἀποξενωτέοι· χόνδροι δὲ οἵ τε πλυτοὶ χαρίεντες, ξὺν οἴνῳ καὶ μέλιτι ὅσοι ἡδύ-

imponere op. porri comam [illegible] tritam v. lentem ad [illegible] coron. -alem, ego fronte scalpto incisoris, [illegible] [illegible] [illegible] ad pectus [illegible] [illegible] [illegible] capite [illegible] c. Pis illin. cap. ed. [illegible] fiat [illegible] proficit ad dol. miti- gand pro Temp. [illegible] rad. mali thap. [illegible] Cut. tumefact. Tubere: Varis similia efferunt 9. abstin. [illegible] dispell. Legum. Faba [illegible] [illegible] Lente [illegible]

suavis c Vin & Mell. q. s. ad dulcedinem

ται, καὶ τὸ ἐκ τουτέων ῥόφημα, καὶ οἱ ξὺν ἁπλόοισι ζωμοῖσι. καλοὶ γὰρ καὶ οἱ ἐν τῇ καρυκείᾳ καρποί, κάρου, κοριάνου, ἀνίσου, σελίνου δὲ λυτέων κρεάτων, ἢ ἡ ἡδύοσμος ἡ βοτάνη, καὶ γλήχων πρὸς τοῖσι εὐώδεσι, ἴσχουσί τι καὶ οὔρων ἀγωγόν, καὶ φυσῶν ἔξοδον. κρεῶν δὲ, πονηρὰ μὲν τὰ παλαιὰ πάντα· νεοσφαγῆ δὲ, ἀλέκτορος, πτιλῶν ἢ φάσσα, ἢ πελειά, καὶ τὰ ἄλλα ὁκόσα μὴ μάλιστα πίονα, συῶν τὰ ἄκρεα, λαγωὸς ὁ ὀπτός. Βοὸς δὲ καὶ ὄϊος παχιών τε, καὶ κεφαλῆς πλήσμιον. ἔλαφος δὲ, οὐ πάντῃ κακός, γάλα καὶ τυροὶ κεφαλαλγέες. ἰχθύων, οἱ πετραῖοι, ἢ δὲ ὁκόσοι κατὰ χώρην, ἄριστοι. λαχάνων δὲ ἑφθῶν μὲν, ὁκόσα οὔρων καὶ κοιλίας ὑπαγωγά, μαλάχη, βλίτον, τεῦτλον, ἀσπάραγοι· δριμὺ δὲ καὶ κράμβη· ὠμὰ δὲ, θριδακίνη πάντων ἄριστον· ῥίζαι δὲ πονηραί, καὶ ἑφθαί, ῥαφανίδες, γογγυλίδες, σταφυλῖνοι· οὐρητικὰ μὲν, πλήσμια δέ. σίσαρον φυσῶδες μὲν καὶ στομάχου ἐπαρτικόν. οἶνος λευκὸς, λεπτὸς, γλυκὺς μὲν ἐγκεχεάφθω, στύψιος ἔχων, ὡς μὴ ἴσχειν τὴν γαστέρα. τρώγημα πᾶν, κεφαλαλγές, πλὴν φοίνικες πάσης ἰδέης. σύκων δὲ ὀπώρη καὶ σταφυλὴ προσηνές, καὶ ὅ,τι ἂν ἐπὶ τῆς ὥρης ἄριστον. πλησμονὴ πάντων καὶ τῶν ὠφελεόντων κακόν· κάκιον δὲ ἀπεψίη. κόποι ἀπεψίης μὲν ἀσινέστεροι· ἐπιβλαβέες δὲ καὶ οἵδε. περίπατοι ἕωθεν ἐπὶ τῆς κοιλίης ἐκκρίσι· εὔπνοοι δὲ, εὔφοροι· ἄριστοι δὲ καὶ οἱ ἐπὶ τῷ δείπνῳ· αἰώρη μακρὰ, νήνεμος, ἀνήλιος τῇ κεφαλῇ· κακὸς γὰρ αὐτέῃ ὁ σείριος. ὁμιλίη γυναικὸς κεφαλῇ, νεύροις, κακὸν ἐπίπασι. ἀποδημίη ἐς θερμότερον ἀπὸ ψυχρῶν, καὶ ἀπὸ ὑγρῶν ἐς ξηρότερον. ξύμφορος δὲ πλοῦς, καὶ ἐν θαλάσσῃ ἐξαγωγὴ τοῦ βίου· κἢν παράλιός τις ἦ, ἀγαθὸν λοῦσθαί τε τῇ ἅλμῃ ψυχρῇ, καὶ νήχεσθαι τῇ θαλάσσῃ, καὶ τῇσι ψάμμοισι ἐγκαλινδέεσθαι, καὶ βιοτεύειν ἐς θάλασσαν. ἑτεροκρανίης ταῦτα ἄκεα. ὁκοῖον γὰρ τῇ κεφαλῇ ὅλῃ ἄκεα πρόσφορα, τοῖσδε πρὸς ἅπαν τῆς κεφαλῆς μέρος χρέεσθαι καλόν. ὁκόσοισι δὲ ἐκ τῶνδε ἄφυκτος ἡ νοῦσος, ἐλλεβόρῳ χρέεσθαι, τῇ ἐσχάτῃ καὶ δυνατωτάτῃ πάντων ἀγωγῇ.

Jusculis / Caryceda sem. / apii, a Mentha / Puleg. / gallus est / gec: caterfect / b. palumbes / Columba / c. Lepus assa / tus d. Caro / nadina / e. Casei f. sax / atiles g. est / oleris. h. bli / -tum i. brass / -ica. j. Lactu / -ca. k. radices / lo, rapa pas / tinaca l. in / -tum - abbolit / m. bellaria / n. minus of- / fendit defa / -tig. q. crud. / o. ambl. ma / tutina expon. / ciat. Ventre / p. Gestatio / sine Ventis

ubi 101 - cap. in primo fecit q. Peregrinat. / r. confert navigare s. u q. in reg. ma- / -rit. degat ag. sals. frig. lavare, in mari / natare, volutari in arenis

ΘΕΡΑΠΕΙΑ ΣΚΟΤΩΜΑΤΙΚΩΝ,

κεφ. γ.

Cephal. succedit Vertigo

ΚΑὶ ἐκ διαδέξιος μὲν κεφαλαίης γίγνεται σκοτοδινίη· ἀτὰρ καὶ αὐτὴ πρόσθε ἐπ' αἰτίῃσι φύεται, αἱμορροΐδων ῥόου ἐπισχέσι, κἢν ἀπὸ ῥινὸς αἷμα μὴ ῥέῃ πρόσθεν ῥέον, ἢ μὴ διαπνέηται τὸ σκῆνος, ἢ ἱδρῶτι, ἢ πόνῳ πρόσθεν πινδύμενον. ἢν μὲν οὖν ἐπὶ τῇ κεφαλαίῃ ξυνστῇ, τάδε χρὴ ποιήσειν ἐς ἴησιν, ὁκόσα ἐπὶ τῇσι κεφαλαίῃσι λέλεκται· τοῖσι δὲ τὰ βιαιότερον ἰῆσθαι χρὴ ἐς τέλος τῶν ἀκέων, ὕστερον φράσω. ἢν δὲ ἀπό του ἐπισχέσιος ὑγρῶν ἡ νοῦσος ἀποβῇ, τὴν ξυνήθη ἔκκρισιν κινέειν. ὑγιεινὸν γὰρ τῆς φύσιος ἡ παλινδρομίη. ἢν δὲ ἡ μὲν μηλῃ, τὸ δὲ πάθος αὔξῃ, ἐπὶ μὲν τῇσι ἄλλῃσι ἐπισχέσεσι τῇσι διὰ ῥινὸς, ἢ ἱδρώτων, φλέβα τάμνειν τὴν ἐπ' ἀγκῶνι· ἢν δ' ἐπὶ ἥπατι πλημμύροντι ἢ σπληνὶ, ἢ τινὶ τῶν ἐν τοῖσι μέσοισι σπλάγχνων, ἀρήγον ἡ σικύη. χρὴ δὲ ὁκόσον ἂν ἐκ φλεβὸς πολλὸν ἐκκρῇ, τοσόνδε ἐκ τῶνδε ἀφαιρέειν αἷμα. τόδε γὰρ τῆς προφάσιος ἡ τροφὴ, ὥσπερ δὴ καὶ γαστήρ· ἐπὶ δὲ τῷδε, τὰ τῆς κεφαλῆς ἄκεα ξυνάπτειν, φλέβα τὴν ἐπὶ τῷ μετώπῳ ὀρθὴν τάμνοντα, ἢ τὰς ἑκατέρωθεν τῆς ῥινὸς πρὸς τοῖσι κανθοῖσι, σικύην τῇ κορυφῇ προσβάλλειν, ἐκκόπτειν τὰς ἀρτηρίας, ξυρεῖν τὴν κεφαλὴν, φοινίσσειν, φλέγμα ἄγειν διὰ ῥινῶν πταρμικοῖσι, ἢ διὰ στόματος ὅκως ἔλεξα· ἅπαντα πρήσσειν ἐν κόσμῳ τῷ ἐπὶ τῇ κεφαλαίῃ εἰρημένῳ, πλὴν ὁκόσον κυκλαμίνου χυλὸς, ἢ ἀναγαλλίδος ἐγχυτὸς εἰς τὴν ῥῖνα ἔχει τὴν πρόσθεσιν. ἐπὴν δὲ τῶν ἀμφὶ τὴν κεφαλὴν ἀκέων ἥκῃ ἐς τέλος, ὁκόσα βιαιότερα ἐς τοὺς σκοτώδεας, τάδε χρὴ ποιήσειν, ἐμέτοισι τοῖσι ἀπὸ δείπνου, ἢ δὲ τοῖσι ἀπὸ ῥαφανίδων χρέεσθαι, τὸ ἐκ τοῦδε δέον ἐστὶ, ἀτὰρ ἢν δὲ ἐς ἐλλεβόρου παρασκευήν. μελέτῃσι γὰρ χρὴ τοῦ σώματος ἐμέειν, ἐπὶ τοῖσι δεινοτέροισι ἐμετηρίοισι. ἀτὰρ καὶ τὸ φλέγμα λεπτότερον νεῶ γίγνεται, τὰ ἐς

perspiret — subsistat — posterius — reversio — a. moretur — b. redundanti humoribus — c. ei causam — alit d. posteà — e. aut Venam in utraq. Part. nasi juxta angulos Ocul. — f. ordine — g. vomet — vomitioni ante vehementia vomitoria

Q mis insuper succus Cyclam & Anagall naribus infundi debet.

quae facil. dissolvi queat

τὸ ἐλλέβορον δὲ ἔχυτον· ἐλλεβόρου δὲ δόσιες πλεῦνες, τοῖσι μὲν ἰσχυροτέροισι ἀρῆξαι ἐς μέγεθος ἄμμης, ἢ ὀλίγον ἁδρότερον τετμημένα, ξὺν χόνδρῳ τε πλυτῷ, ἢ φακῷ ἡ δόσις· σταθμὸς δὲ ὁλκῆς δραχμαὶ δύο· ἐπὶ δὲ τῶν ἀσθενεστέρων καὶ ἰσχνοτέρων, τὸ ἕψημα ξὺν μέλιτι, μέτρον μύστιλαι δύο ἢ τρεῖς· τῆς δὲ ποιήσιος ὁ τρόπος ἄλλῃ πη λέξεται. μεσηγὺ δὲ ἑκάστου ἄκεος ὑπαναστρέφειν τὸν νοσέοντα ἐς τὴν τῶν μέσων ὑπομονήν· ἀρήγειν δὲ καὶ ἐπὶ τοῖσι παροξυσμοῖσι ὧδε· διαδέειν μὲν τὰ σκέλεα ὑπὸ σφυρά τε γούνατα, καὶ χερὸς καρπούς τε καὶ βραχίονας ἔνερθε τῶν ὤμων πρὸς τοῖσι ἀγκῶσι. τέγξιες κεφαλῆς, ῥόδινον μύρον ξὺν ὄξεϊ· ἐνεψῆσαι δὲ χρὴ τῷ ἐλαίῳ, ἑρπύλλιον ἢ σφονδύλιον, ἢ κισσοὺς, ἤ τι τοιόνδε. ἀνάτριψις ἄκρων, καὶ προσώπου· ὄσφρησις ὄξεος, γλήχωνος, ἡδυόσμου, καὶ τάδε ξὺν ὄξεϊ· διάστασις τῆς γένυος. ἔστιν ὅτε γὰρ ἐρείδουσι τὰς γνάθοις· γαργαρισμὸς παρισθμίων, ἐμέτου πρόκλησις. ἐπὶ γὰρ ἐκχύσει κοτὲ φλέγματος ἀνέγροντο ἐκ τοῦ ζόφου. τάδε μὲν ὦν ἐς τὴν τοῦ παροξυσμοῦ παρηγορίην τε σκέδασιν τοῦ ζοφώδεος. διαίτης δὲ περὶ ἁπάσης τῆς ἐν τῇ θεραπείῃ καὶ τῆς ἐς αὖθις τάδε γινώσκω. ὕπνος πουλὺς, κακὸν δὲ τε ἀϋπνίη. πολὺς μὲν γὰρ ναρκᾷ τὰς αἰσθήσιας τῆς κεφαλῆς· ἀτμῶν πλημμύρα· ὄκνος ἁπάσης πρήξιος. τάδε μέντοι βάρεος καὶ ἤχων τε μαρμαρυγῶν ἐστὶ αἴτια, τῆς νούσου τὰ ξύμβολα· ἀγρυπνίη δὲ ἄπεπτον, ἄτροφον, καματηρὸν, τῷ σκήνεϊ ἄθυμον, δυσπαράγωγος ἡ γνώμη· διὰ τάδε ῥηϊδίως μαίνονται, καὶ μελαγχολέουσι οἵδε· ξύμφορος δὲ ὁ μέτριος ἐς τὴν τῆς τροφῆς οἰκονομίην, καὶ ἐς ἀνάπαυλαν τῶν δι' ἡμέρας καμάτων πρόνοια καὶ ἐπιμονή. προεδρίη τῆς κοιλίης ἐς ἀπόκρισιν. διαπνοῆς γὰρ ἡ μέζων αἰτίη κοιλίη. ἀνάτριψις αὖθις σκελέων δι' ἡμιτομβίων τρηχέων μέσφι φοινίξιος, ἔπειτα νώτου καὶ πλευρέων, ὕστατα κεφαλῆς· ἀπὸ ξυλέων περίπαλοι, προσηνέες μὲν ἀρχῆθεν καὶ ἐς ἀπόπαυσιν

helleboro
a. Placatur
-la. paulo
liberalis in-
cisus c̄ alica
ptisana, lento
dandus 3ij
cochl.a ij-iij.
Confectionis
libro refici
ut instrumento
valeat quae
interim adhib.
ol. ros. perf.
hederas. coq.
Menth. Puleg.
Dent. diduct.
maxill. collid.
levamentum
& discuss.
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
splendo-
rum apta vero
-tos. d. men-
tem contristat
alienationi
opportunam
reddit
e. somnus
moderatus

3. subsistend. ut alv. reddit
transpirationis enim causa g. Linteolis
ad ruborem. Ambul. lenior

tantum non cursu in medio.

ἐπίτροχοι δὲ οἱ μέσοι, ἠρεμίη, κατάστασις τοῦ πνεύματος ἐπὶ τοῖσι περιπάτοισι ἔστω. ἀναφωνέειν χρὴ, τοῖσι βαρέσι φθόγγοισι μᾶλλον χρεόμενον ἢ χέειν. ὀξέες γὰρ, κεφαλῆς διατάσιες, κροτάφων παλμοὶ, ἐγκεφάλου διασφύξιες, ὀφθαλμῶν πρήσιες, ἦχων ἀκοή· μετρίη ὀξυφωνίη, κεφαλῇ ὀνήϊστον· ἔπειτα δὲ, καιρὸς αἰώρης, ἐς διάπνοιαν τοῦ παντὸς κεφαλῆς βάρεος, πλῆθος δὲ ἔστω πολλὸν, πλὴν ὁκόσον ἀκάματον ἢ ἐπὶ ἡγεμόσι τοῖσι τοῦ χωρίου, μηδὲ ξυνεχέσι καμπῇσι αἰώρη γινέσθω. ἰλίγγων γὰρ τάδε προκλήσιες. εὐθέες δὲ καὶ μακροὶ, καὶ λεῖοι ἔστων καὶ οἱ περίπατοι. ἢν μὲν ὦν ἐν ἔθει ἔωσι ἀείσου, δρόμου μούνου ὀρέγειν, ὁκόσον μηδὲν ἐμποδὼν τοῖσι γυμνασίοισι ἔμμεναι. περιπεπέφθαι γὰρ χρὴ κεφαλὴν καὶ χεῖρας, καὶ αἱ τῶν δὲ τρίψιες· ἐπὶ δὲ τοῖσι δὴ πρηέως, ἐς ἀνάκλησιν θέρμης, καὶ εὐσαρκίης καὶ τόνου· ἔπειτα κεφαλὴν τρίβεσθαι ὄρθιον ἑωυτέου μέζονι ὑπέχοντα· ἀτὰρ καὶ τὰ γυμνάσια ἐς βαχίλου περιήσιας, καὶ ἐς δίωσμον χειρῶν συντείνει, εὐπαιδεύτως. ὑπεραιωρεῦντα δὲ χρὴ τὴν κεφαλὴν, καὶ τὰς ὄψιας γυμνάζειν χειρονομίη, ἢ δίσκων βολῇ, φιλονεικεῦντα πυγμῇ· κακὸν δὲ σφαιρέας μικρή τε καὶ μεγάλη· τῆς γὰρ κεφαλῆς καὶ τῶν ὀφθαλμῶν αἱ δινήσιές τε καὶ ἐκστάσιες σκοτώματα ποιέουσιν. ἄεισον ἀφοδήσιες καὶ δρόμοι. τὸ ὀξὺ μὲν πᾶν, ἐς τὰ σκέλεα πάντων πονώσιες, ψυχρολουσίη ἀλουσίης κρέσσων· ἀλουσίη δὲ θερμολουσίης· σῦψαι, πυκνῶσαι, ξηρῆναι κεφαλὴν, ψυχρολουσίη δυναλωτάτη, ὑγιείης ἡ κατάστασις. ὑγρῆναι, λῦσαι, ἀχλυῶσαι, θερμολουσίη δυνατωτάτη. κεφαλῆς γὰρ νούσου αἱ προφάσιες. τοιοίδε καὶ οἱ νότοι, βαρυήκοοι. ἡσυχίη ἐπὶ τοῖσι γυμνασίοισι ἐς κατάστασιν τοῦ ταράχου. πίεσις τῆς κεφαλῆς ἐς τὴν τοῦ δέρματος ξύσιν. περιπόσιες ὕδατος πόσι, ἢ οἴνου ὑδαρέος, ἄεισον εὐτελές. λαχάνων κόμης τὰ μαλθακήεια, μαλάχης, τεύτλου, βλίτου, ἔμβαμμα, εὐστόμαχον, εὔστομον, κοιλίης μαλθακτικόν.

Vocis exercitatio sonis gravib. mediocr. Vox j.a. citra lassitud.m Gestatio neg. frequentib. flexuosis neg. flexib. [illegible] p. prandio [illegible] exsperata [illegible] impedit. exercitat. e. dixi [illegible] utrius pertinens. [illegible] exerc. ad [illegible] scienter manus pro[illegible] eisq. [illegible] alto sublato cap. ocul. exercere oport. manu gestic[illegible] Disc[illegible] [illegible] castib. decertanda

[illegible] pila. q. circumvolutio, intentio h. saltus cursusq. i. roborat corp. [illegible] ad [illegible] ante cibum aq. vin. aquos, prand.

...Rerum Coma emoll, Mass. Ges. ... ligamen Stom. conven & palato ...

ἀβαρὲς δὲ κεφαλῇ, διὰ θύμου, ἢ θύμβρης, ἢ σινήπιος. ὧδε, τὰ θερμὰ χειμῶνος· θέρεος δὲ τὰ ψυχρά, γυμνὰ τοῦ ὀγκακφώδεος, μὴ ὀπτὰ, ἐλαῖαι, φοίνικες, τάριχος ὡραῖον, χόνδρος πλυτὸς, ξὺν τινι τῶν γλυκέων, ὁκόσον ἡδῦναι αἱρετόν. ἐπὶ τοῖσδε ἅλες, ἠρεμίη, ἡσυχίη τε ἀκοῆς, καὶ λαλιῆς. περίπατοι, ἔνθα ἂν εὔπνοον· εὐχαεῖ ἢ δένδρεσι, ἢ βοτάνῃσι· ἢν δὲ ἐς δεῖπνον ἥκῃ, μάλιστα μὲν αὖθις ψυχρολουτέειν, σμικρὸν ὑποχρισάμενον λίπαϊ. εἰ δὲ μὴ, σκέλεα μοῦνον. τὸ δεῖπνον σιτῶδες μὲν ἴτειον, ἢ ῥόφημα χόνδρου, ἢ πτισάνη ἄφυσος, ἑψηθεῖσα εὔπεπτος· φάρμακα δὲ τὰ ἐς ἡδονὴν τῆς πτισάνης, πέπερι, γλήχων, ἡδύοσμον, κρομμύων, ἢ πράσων σμικρὸν, μὴ δὲ ὁκόσον ἐμπλεῦσαι· ὄξος δὲ τὸ δριμὺ ξύμφορον· κρεῶν, τὰ ἐκ πιόνων μὴ πίονα· συῶν πόδες καὶ κεφαλή· πτηνὰ πάντα· τῷ πλήθεϊ δὲ τεκμαίρεσθαι· λαγῶς, τε τὰ θηρευτὰ δὲ, ἀλεκτορὶς εὔπορος καὶ ξύμφορος. τράγημα πᾶν κεφαλαλγὲς, πλὴν φοίνικος, ἢ τῶν ὡραίων σύκων, ἢ σταφυλῆς, ἢν ἄφυσος ὥνθρωπος ἔῃ, εὖ τι. ἢ δὲ πεμμάτων εὔπεπτα, καὶ ἄκνισσα, καὶ κοῦφα, περίπατοι, θυμηδία, ἐν ἡσυχίῃ ἐς ὕπνον ἄφεσις.

...natio. g. ex secundis meas is ...

ΘΕΡΑΠΕΙΑ ΕΠΙΛΗΨΙΗΣ, κεφ. δ.

Ἀκέων δ᾽ ὅ,τι περ μέγα τε δυνατώτατον, ἐς ἐπιληψίην χρέεσθαι. φυγὴ γὰρ οὐ μοῦνον ἐπιπόνου πάθεος, καὶ κινδυνώδεος ἐφ᾽ ἑκάστης ὑπομνήσιος, ἀλλὰ καὶ ἰδέης αἴσχεος καὶ ὀνείδεος τῆς συμφορῆς· καί μοι δοκέω, εἴπερ εἰς ἀλλήλους ἐν τοῖσι παροξυσμοῖσι ἐνέβλεπον, ὁκόσα πάσχουσι οἱ νοσέοντες, οὐκ ἂν ἔτι ζώειν τλαῖεν ἄν. ἀλλὰ γὰρ τὰ δεινὰ ἑκάστῳ καὶ τὰ αἰσχρὰ, ἀναισθησίη καὶ ἀθεησίη κρύπτει· ξυνομαρτεῖν δὲ τὴν ἰητρείην τῇ ῥαστώνῃ τῆς φύσιος ἄριστον, εὖ τε τῇσι μεταβολῇσι τῆς ἡλικίης, ἐς μέγα ἀμείβει τὸν ἄνθρωπον. ἢν γὰρ ἡ ξυνή-

2 secund- ductum Nat. 3 ubi variat

Q si irritatus malo victus in ...

q. Caps. non gravet, ex pultamine ovo exsuta non assata b. salsamentum vetus g. q. ad condiend. veliat d. sub Cana temp. Corp. ot. uncto ... permagnum ... non sustinet ... sublata videndi facultas 1. adaptaro

1. aliud morb. 2. decessit 4 ulterius
non invadit, unâ decedit c. eo q.
gratum illi fuit

inhaeret

ante & pone Aures, a plus valens b. habitus c. tolerantes efficit. d. proficit e perforatum os. f. quoad secesserit membrana g. Terebrâ ossa circumcidenda q. v. resist. h. ad putrefactionem rem. efficeq: medico i. ledunt

θης τῷ κακῷ δίαιτα ἐν ᾗ ἐμβιοτεύει ἡ νοῦσος, οἴχετο, οὐκέτι ἐπιφοιτεύει ἐς τὸν αἰῶνα. ξυναποίχεται γὰρ τῷ πρόσθεν ἤδεϊ. ἢν ὦν τῆς κεφαλῆς λάβηται, ἐνοικέει. τῇδε ἅπαντα χρὴ πρήσσειν, ὁκόσα μοι ἀμφὶ κεφαλαίης λέλεκται, ἀμφί τε τὰς τοῦ αἵματος ἀφαιρέσιας, ἠδ' ἀμφὶ τὰς καθάρσιας φλεβῶν τῶν ἐπ' ἀγκῶνος, μετώπου τε ὀρθίας. σικύης τὰς δὲ ἀφαιρέσιας, μὴ μέσφι λειποθυμίης ποιέεσθαι. πρόκλησις γὰρ τοῦ πάθεος, λειποθυμίη. ἀρτηρίας τάμνειν ἁπάσας, τάς τε ὤτων πρόσω τε καὶ ὀπίσω. καθάρσιας δὲ ποιέεσθαι ἐξοχέας τουτέων πάντων, τῇ ἱερῇ τῷ καθαρτηρίῳ, καὶ τῆς κεφαλῆς τοῖσι ἄγουσι φλέγμα. πολλῷ δὲ δυνατώτερα ἔστω φάρμακα. φέρει γὰρ ἡ ἕξις τῶν δὲ τοὺς πόνους. εὐθυμίη δὲ καὶ εὐελπιστίη πείθουσι τοὺς νοσέοντας τλήμονας. χρεὼν καὶ πῦρ φέρειν ἐς τὴν κεφαλήν. αἰνέει γάρ. τετρῆναι δὲ χρὴ πρόσθεν τὸ ὀστέον μέχρι διπλόης, ἔπειτα κηρωτῇσι καὶ ἐπιπλάσμασι χρέεσθαι, ἔστ' ἂν ἡ μῆνιγξ τῶν ὀστέων ἀποστῇ. τερέτρῳ χρὴ περικόπτειν τὰ γυμνὰ, κἢν ἐπὶ σμικρὰ ἀντέχῃ μέχρι αὐτομάτου ἀποσπάσιος, ἕως ὅτε μέλαινά ποτε τουτέων καὶ παχέη εὑρεθῇ ἡ μῆνιγξ· καὶ ἐπὴν ἐς μύδησιν, ἢ ἐς κάθαρσιν τοῦ ἰχῶρος εὐτόλμως ἀκεομένου, ἐς ὠτειλὴν ξυμβῇ τὸ τρῶμα, ὤνθρωπος ἐξῆλθε τῆς νούσου. ἐπὶ πᾶσι φοινίξιες κεφαλῆς, ξυνήθεες μὲν, ὁκόσαι μοι ἐν τοῖσι πρόσθεν εἰρέαται· δυνατωτέρη δὲ, ἡ διὰ τῶν κανθαρίδων. χρὴ δὲ ἐπὶ πρόσθεν τῆς χρήσιος τριῶν ἡμερῶν, πίνειν γάλα ἐς τὴν τῆς κύστιος φυλακήν. κανθαρίδες γὰρ, κάρτα σίνονται κύστιν. τάδε μὲν ὦν τὴν κεφαλὴν πεπόνθῃ· τὴν δὲ τὰ μέσα εἰσάγῃ τὴν αἰτίην, καὶ τάδε ἐπάγει τὴν νοῦσον. ἥκιστα δὲ τάδε γίγνεται. ξυμπαθέει γὰρ κεφαλῇ τὰ μέσα μᾶλλον ὡς ἐπὶ μεγάλῳ κακῷ, ἤπερ ἀρχὴ τῆς νούσου. ὁκόσος δ' ὦν ἔχῃ, φλέβα τάμνειν τὴν ἔσω ἀγκῶνι καὶ ἐπὶ τῶνδε. ἀπὸ σπλάγχνων γὰρ ἡ ῥοή· ἀτὰρ καὶ καθαίρειν τοῖσδε μᾶλλον τῶν ἄλλων, καὶ τῇ

k. si medio Partes Corp. morb. induc.

l. rariss. imo evenit. m. utcunq. res se habt. etiam in his

ἱερῇ καὶ κνεώρῳ, καὶ κόκκῳ κνίδης. τάδε γὰρ φλεγμάτων ἀγωγά. τὸ δὲ καίριον αὐτέων ἡ σικύη. ἐπιθυμητικὸς δὲ καὶ ἐπιπλασμάτων ὁ φόρτος εὔδηλος, καὶ πάντη γράφειν περιττὸν, εἰ μὴ ὁκόσον δύναμιν αὐτέων γινώσκειν, ὅτι χρὴ τοῖσδε λεπτῦναι, διαπνεῦσαι, εὔροα καὶ εὔπνοα ποιέειν, καὶ πεπληείοισι φαρμάκοισι, θερμοῖσι, ξηροῖσι, καὶ οὔρων ἀγωγοῖσι χρεόμενον, καὶ ἐν τροφῇ καὶ ἐν φαρμακίῃ. κρέσσων δὲ πάντων κάστορος ὄρχις πινόμενος ἐν μελικρήτῳ πολλάκις τοῦ μηνὸς, ὁκόσα τε ποικίλα φάρμακα τωυτὸν πρήσσει, ἡ διὰ τῶν θηρείων ποικίλη, καὶ ἡ τοῦ Μιθριδάτεω ἐπιποικιλωτέρη. πίνειν δὲ καὶ τὴν Βυστίνου. εὔπεπτα γὰρ καὶ εὔχυμα ταῦτα, καὶ οὔρων ἀγωγά, ὁκόσα γὰρ χρὴ γράφειν τῶν ἁπλῶν φαρμάκων, αἵδε ἔχουσι αἱ δυνάμιες, κινάμωμον, καὶ κασίην, φύλλα τὰ μαλαβάθρου, καὶ πεπέρεος, καὶ σεσέλεος πάσας ἰδέας. καὶ τί γὰρ οὐκ ἂν εὕροις ἐν τοῖσδε τῶν δυνατωτάτων. λόγος ὅτι καὶ γυπὸς ἐγκέφαλος, καὶ αἰθυίης ὠμῆς κραδίη, καὶ οἱ ἐνδικάδιοι γαλεοὶ βρωθέντες λύουσι τὴν νοῦσον. ἐγὼ δὲ τῶνδε μὲν οὐκ ἐπειρήθην. ἐθεασάμην δὲ ἀνθρώπου γε νεοσφαγέος ὑποθέντας φιάλην τῷ τρώματι, καὶ ἀρυσαμένους τοῦ αἵματος πίνοντας. ὢ τῆς παρεούσης μεγάλης ἀνάγκης, τλῆναι κακὸν ἀκέσασθαι μιάσματι κακῷ. εἰ δὲ καὶ ὑγιέες ἐκ τούτου ἐγένοντο, ἀτρεκὲς οὐδεὶς ἔχει μοι λέγειν. ἄλλη δέ τις γραφὴ ἔφραζεν, ἧπαρ ἀνθρώπου φαγεῖν. ἀλλὰ τάδε μὲν γεγράφθω τοῖσι μέχρι τῶνδε τλήμοσι. τεσσαρήκειν δὲ καὶ τῇ διαίτῃ, καὶ ἑκάστοισι τῶν γινομένων, ἢ δι' ἄλλων, ἢ δι' αὐτοῦ. νῦν δὲ χρὴ οὐδὲν ὑπορρίπτειν, μηδὲ πρήσσειν τι εἰκῇ, μάλιστα μὲν ἐφ' ἑκάστοισι σμικροῖσι πάντως ὠφελεῦντα. ἣν δὲ βλάπτοντα μηδέν. καὶ γὰρ ὁ ὁράματα ὁκόσα μὴ θνητὰ, καὶ ἀκούσματα, καὶ γεύματα, καὶ θνητὰ μυρία ἐλέγχει τὴν νοῦσον φράζεσθαι ὧν πέρι πάντων μάλα, ὕπνος πολλὸς, παχύτης, ὀργὴ, ὀμίχλη τῆς αἰσθή-

Sylva satis cognita
Nunc attenuare, perspirabile & aerea reddere oportet ... saepius in Medic. in Aq. mulsa
a. compos. med. quae idem praestat Theriaca, vel Mith. q. ex magis variis constat.
b. horum facultatib. continentur simpl. omn.
c. arultaris
d. fulica
e domest. feles
f. Phiala vula subjecta h... combibere
g. sustin. poss. auxil. medeij tam horribili malo, quantum vis efficaci.
h. certe nunq. auxilia
i. eorum gratia qui hujusmodi experiri sustinent.
j. temere neq.
k. spectacula Visus ingrata
l. suffim. a plurima accersunt
m- nebulam sens. offundit

πιος· ἀγαθὸν δὲ ξυμμετρείη· κοιλίης ἔκκρισις ἐπὶ τοῖσι ὑπνοισι ἄρειστον. μάλιστα πνευμάτων, καὶ φλεγμάτων. περίπατοι μακροὶ εὐφυέες, ἀνέλικτοι, εὔπνοοι, ὑπὸ δένδρεσι μὲν μυρσίνης, ἢ δάφνης, ἢ τοῖσι δριμέσι καὶ εὐώδεσι· βοτάνῃσι δὲ, καλαμίνθῃ, γλήχωνι, θύμῳ, ἡδυόσμῳ. μάλιστα μὲν τοῖσι ἀγρίοισι αὐτοματοῖσι· ἢν δὲ μὴ, κἂν ποιητοῖσι ἐν τοῖσι καὶ αἰῶραι μακραὶ, καὶ αἵδε εὐθέες· ὁδοιπορίῃσι καλὸν χρέεσθαι, μὴ παρὰ ποταμὸν εἰς τὸ ῥεῦμα ὁρῇν. ἰλίγγων γὰρ ποιητικὸν ῥόος. μηδὲ ἐν κύκλῳ στροφούμενον, μηδὲ βέμβηκα δινεύμενον· ἀσθενέστερος γὰρ ἑδραῖον ἱστάναι τὸ πνεῦμα. ξυνελίσσεται γὰρ τῷ κύκλῳ· δίνησις δὲ σκοτώματος, καὶ τῆς ἐπιληψίης περίκλισις. ἀπὸ δὲ τῆς αἰώρης, περίπατος ἠρεμαῖος. ἔπειτα ἡ ἡσυχίη, ἐς ἀποκατάστασιν τῶν ἐν τῇ αἰώρῃ ταραχῶν· γυμνάσια δὲ ἐπὶ τούτοισι πρὸς χεῖρας, ἀνιόντων τῶν ἄκρων ἀφ' ἡμιτυβίου λινοῖσι ὠμοῖσι· ἄλειμμα μὴ κάρτα λιπαρὸν, τρῖψις ἐν μελλήσει μὲν οὖσα, σκληροτέρη δ' ἐς πύκνωσιν· οἰδαλέοι γὰρ καὶ παχέες οἱ πλεῖστοι. μεσηγὺ δὲ ὅλης τῆς τρίψιος, κεφαλὴ ὀρθὴ τετρίφθω. γυμνάσια τὰ εἰς τὸν αὐχένα καὶ ὤμους, χειρονομίη, πάντα ὁκόσα μοι ἐπὶ σκοτωματικῶν λέλεκται. ἅλις δὲ ἐνθάδε τοῦ ἐκεῖ φόρτου· πλὴν ὁκόσα ὀξύτερα χρὴ τὰ τῶνδε γυμνάσια ἔμμεναι, ἐς ἱδρῶτα καὶ θέρμην. τάδε γὰρ πάντα λεπτυνέει. ἀτὰρ καὶ ἐν τῷ παντὶ βίῳ χρὴ ὀξυθυμίην ἀόργητον ἐμποιέειν. τροφαὶ πᾶσαι παχέες ἀσθενέσι κακόν· σιτώδεες δὲ ἄρτοι ξηρότεροι, χόνδροι πλυτοὶ καὶ τὰ ἐκ τῶνδε ῥοφήματα· τὰ δὲ ἐς ἡδονὴν φάρμακα, ταὐτὰ τοῖς πρόσθεν· τῶν δριμέων δὲ νῦν ἔστω πλεῦνα, πεπέριος, ζιγγιβέρεος, λιβυστικοῦ. ἐμβάμματα δὲ δι' ὄξεος καὶ κυμίνου, καὶ ἡδέα, καὶ χρήσιμα. κρεῶν μάλιστα μὲν ἀπειρήσθω πάμπαν, εἰ δὲ μήγε, ἐν τῇ θεραπείῃ· ἐς δὲ τὴν ἀνάληψιν ἔστω ὁκόσα κοῦφα τῇ φύσει, οἷον τὰ πτηνὰ, πλὴν νήσσης, καὶ τῇ πέψει ὅκως λαγωοί. οὐ πό-

grata
non tortuosa
ubi aer bonus
b. puleg.
c. Menth.
d. τι fieri neq
illic, ubi cul-
tu produc.
quis in circ.
rotatum aut
circumvolut.
Turb. inspic.
umber. q. ut
bramum con-
servet spiri.
f. ad comod.
agit. inter
gestandum
g. linteolo
i. lenis eud.
confecto. Man.
extrem. volutis
Unctio non
pingui. fict.
ductorna
h. demetrio
Man.

i. ubi de hac dict. actum est j. animum
acrem faceo citra iracund. k. legum.
l. frumento - m. ead. quae supra n. ligna
-mina n. refectione. o. excepto Anate

δες, τάριχος· καὶ ἐπὶ τοῖσι δίψος ἀγαθόν. οἴνου ὀλιγοποσίη, λευκοῦ, λεπτοῦ, εὐώδεος, εὐόσμου, οὐρεομένου. λαχάνων ἑφθῶν, ὁκόσα ἐς δύναμιν δριμέα, λεπτῦναι, οὖρα κινῆσαι, ὁκοῖόν τι κράμβη, ἀσπάραγος, κνίδη· ὠμῶν δὲ, θριδακίνη ἐφ' οὖρα· σίκυος δὲ καὶ πέπων, ἀνδρὶ μὲν κρατερῷ περιττά, τοῖσι δὲ δοτέον μέσφι κύστιος. κακὸν γὰρ τῇδε ἡ πληθὺς, ψυχρῶν ἐόντων καὶ ὑγρῶν. σύκου χλωροῦ, καὶ σταφυλῆς ἡ χρῆσις ὡραῖος· περίπατοι· ἐπὶ τοῖσι δὲ, θυμηδίη ἄλυπος· ὀργὴ δὲ καὶ λαγνείη κακόν. καὶ γὰρ τὸ πρῆγμα, τῆς νούσου φέρει τὰ σύμβολα. ἀπάτη δέ τις ἔστε μετεξετέροις ἰατροῖς συνουσίης. ἐπεὶ γὰρ ἡ τῆς φύσιος εἰς ἄνδρα μεταβολὴ ἀγαθόν τι πρήσσει, μετεβιάσαντο τὴν παίδων φύσιν ἀώρῳ ξυνουσίῃ, ὡς θᾶσσον ἀναῤῥώσοντες· ἀγνοέουσι δὲ τῆς φύσιος τὴν αὐτομάτην προθεσμίην, ἐφ' ἧς πάντα γίγνεται τὰ ἄκεα· ἥδε γὰρ ἑκάστῃ ἡλικίῃ συντίκτει τὰ οἰκεῖα ἐν χρόνοισι ὡραίοισι. ἐν χρόνῳ γὰρ οἱ πεπασμοὶ σπέρματος, γενείου, πολιῆς. τίς ὦν ἰητρὸς προσαλλάξαι τῆς φύσιος, τοῦτο μὲν τὴν ἀρχῆθεν τῶν σπερμάτων μεταβολὴν, τοῦτο δὲ τὴν ἐς ἑκάστου προθεσμίην· ἀλλὰ καὶ προσέκοψαν εἰς τὴν φύσιν τοῦ νοσήματος. οὐκέτι γὰρ ἐγκαίρως τινὲς εἴασι τῇ ἀρχῇ τῆς ξυνουσίης, προσινόμενοι ἀωρίῃ τοῦ πρήγματος. βιοτεύειν δὲ χρὴ ἐν χώρῃσι θερμῇσι ξηρῇσι. ψυχρὸν γὰρ καὶ ὑγρὸν ἡ νοῦσος.

ΘΕΡΑΠΕΙΑ ΜΕΛΑΓΧΟΛΙΗΣ.

κεφ. ε.

Χρεὼ βουλῆς ἀμφὶ αἵματος ἀφαιρέσιος ἐν τοῖσι μελαγχολικοῖσι, ἀφ' οὗ γίγνεται ἡ νοῦσος, ἀλλὰ καὶ κακοχυμίης οὐδ' ἐπὶ σμικρῷ τῷ πλήθει. ἢν μὲν ὦν ἡλικίης νέης λάβηται, καὶ ὥρης ἐαρινῆς, τάμνειν φλέβα τὴν ἐπ' ἀγκῶνι τοῦ δεξιοῦ μέσην, ὅκως ἀπὸ τοῦ ἥπατος εἴη ἐπίκαιρος ἡ ῥοή. τόδε γὰρ τὸ

Σπλάγχνον αἵματος αἱ πηγαί· χολῆς δὲ ἡ φύσις, ἄμφω μελαγχολίης ἡ τροφή· τάμνειν δὲ ἢν ἰσχνοὶ ἔωσι καὶ λείφαιμοι· σμικρὸν δὲ ἀφαιρέειν, ὁκόσον αἴσθηται τομῆς ἡ δύναμις· ἐκ ἐλεγχθείη δὲ ἐπὶ τῷ τόνῳ. καὶ γὰρ εἰ παχὺ καὶ χολῶδες καὶ πεπηγὸς εἴη τὸ αἷμα, καὶ μέλαν ὅκως ἀμόργη, ἀλλὰ τόδε ἐστὶ τῆς φύσιος ὁ χῶρος καὶ ἡ τροφή. ἢν οὖν τοῦ δέοντος πολλὸν ἀφέλῃς, ἀτροφίῃ ἡ φύσις (δεῖται) τῆς ἕδρης· ἢν δὲ πολύαιμος ἦ, τὰ πολλὰ μὲν οὐ κάρτα γίγνεται πονηρὸν, τάμνειν δὲ τὴν φλέβα, καὶ μὴ αὐτῆμαρ ὁκόσον χρὴ ἀφαιρέειν, ἀλλ' ἐκ διαστάσιος, καὶ αὐτῆμαρ δέ. τὸ δὲ πλῆθος δηλώσουσιν αἱ δυνάμιες· μεσηγὺ δὲ ἀδροτέρως διαιτᾶν, ἐς ἄλλης κενώσιος ὑπομονήν. χρὴ γὰρ καὶ τῷ στομάχῳ ἀρήγειν, καὶ τῷ νοσέοντι καὶ κάμνοντι. τῷ δὲ τῆς μελαίνης χολῆς ἐγχεομένης ἐπίπροσθεν μιῆς ἡμέρης λεπτῶς διαιτηθέντι, μέλανος ἐλλεβόρου δοτέον ξὺν μελικρήτῳ, σταθμοῦ ὁκόσον ὁλκὰς δύο. ὑπάγει γὰρ ὅδε μέλαιναν χολήν· ἀτὰρ καὶ τοῦ θύμου τοῦ ἀττικοῦ ἡ κόμη καὶ ἥδε ἄγει μέλαιναν χολήν· ἄριστον δὲ ξυμμίσγοντα διδόναι ἑκάστου μέρος ἓν ἐς ὁλκὴν καὶ δύο ἀμφοῖν, λούειν τε ἀπὸ τῆς καθάρσιος, καὶ οἴνου βραχὺ διδόναι, καὶ τῆς ἄλλης τῆς ἐν τῇ τροφῇ χάριτος. στομάχου γὰρ τῇ δυνάμει, καματηρὸν ἡ κάθαρσις. μεταβαίνειν αὖθις ἐπὶ τὰ μέσα· ἄχρι δὲ προχαλάσαντα ἐπιπλάσματι καὶ τέγξει, σικύην πρὸς τὸ ἧπαρ καὶ τὴν κοιλίην, ἢ τὸ στόμα ταύτης προσβάλλειν. ἥδε γὰρ ἡ ἀφαίρεσις πολλόν τι ἐπικαιροτάτη τῆς φλεβοτομίης· προσβάλλειν δὲ καὶ τοῖσι μεταφρένοισι, μεσηγὺ τῶν ὠμοπλατέων· ἐνταῦθα τοῦ στομάχου ἐστὶν ἡ πρόσφυσις. εἶτ' αὖθις ἐπαναστρέφειν, καὶ ἢν τῇ διαίτῃ βλαστηθῇ ἡ δύναμις, τὴν κεφαλὴν ξυρέειν, ἔπειτα σικύην τῇ κεφαλῇ προσβάλλειν. καὶ γὰρ ἡ πρώτη καὶ μεγίστη τῆς νούσου ἐν τοῖσι νούσοισι αἰτίη. ἀλλ' οὐδὲ αἱ αἰσθήσιες ἔασι ἀσινέες. ἐκεῖθεν γὰρ νεύρων ἡ ἀπόστασις, καὶ ἡ ἀρχή. ξύν τε ἕπονται ὦν καὶ αἵδε κοι-

a. nerv. sc. Origo b- pervertantur

1. vitiose sentiunt propter horum alienationem.

νωναὶ οὖσαι τῆς πάθης· μετεξέτεροι δὲ καὶ παραισθάνονται, παραφορῇ τῆς αἰσθήσιος. χρὴ δὲ μάλιστα τῷ στομάχῳ ἀρήγειν, καὶ τοῦδε νοσέοντος, καὶ ἐν τῷδε τῆς μελαίνης χολῆς ἐγκειμένης. πιπίσκειν ὦν χρὴ τοῦ χυλοῦ τοῦ ἀψινθίου ξυνεχῶς ἀπὸ σμικροῦ τοῦ μεγέθεος ἄχρι κυάμου. κώλυμα γὰρ τόδε χολῆς γενέσιος. ἀγαθὸν δὲ καὶ ἀλόη. ἥδε γὰρ ὑπάγει ἐς τὸ κάτω ἔντερον τὴν χολήν. ἢν μὲν ὦν νεοτόκον τὸ πάθος ᾖ, καὶ μὴ πολλὸν ὥνθρωπος ἐκτραπῇ, ἄλις μὲν ἐπὶ τοῖσι ἰήσιος· τῆς δὲ λοιπῆς διαίτης χρέος ἔς τε ἀνάληψιν τῆς ἕξιος, καὶ ἐς κάθαρσιν ἀκριβέα τοῦ πάθεος, καὶ ἰσχὺν τῆς δυνάμιος, ὡς μὴ παλινδρομέωσι αἱ νοῦσοι· φράζω δὲ αὖθις τὴν ἐν τῇ ἀναλήψει βιοτήν. ἢν δὲ ἐπὶ τοῖσδε σμικρόν τι ὑποπλώξασα ἡ νοῦσος παλίνορσος ὀφθῇ, μεζόνων ἀκέων χρέος. μὴ ὦν ἀμβολὴ χρόνου γιγνέσθω· ἀλλ᾽ ἢν ἐπισχέσι γυναικῶν καταμηνίων, ἢ ἀνδρὸς αἱμορροΐδων ῥόου ἡ νοῦσος παρῇ, ἐρεθίζειν τὰ χωρία, προχέειν τι τοῦ ξυνήθεος· ἢν δὲ μέλλῃ καὶ μὴ ἥκῃ, ἄλλῃ τῃ τοῦ αἵματος μεταρρυέντος, ἐπανέρχῃ δὲ ἡ νοῦσος, κενώσιας ποιέεσθαι αὐτῷ, ἡγεόμενον ἀπὸ τῶν σφυρῶν. κἢν μὴ ἐς ὅσον χρὴ ἐντεῦθεν ἀφέλῃς, καὶ τὴν ἐπ᾽ ἀγκῶνι τάμνειν φλέβα· μεσηγὺ δὲ τριῶν ἢ τεσσάρων ἡμερῶν ἀναθρέψιος, τὴν ἱερὴν τὸ καθαρτήριον φάρμακον πιπίσκειν. ἔπειτα σικύην τοῖσι μέσσοισι προσβάλλειν, τῷ ἥπατι ἐγχρίπτοντα, πρήσσειν τὰ ἔργα, ἢ τάχος ἀνύοντα. σμικροῖσι μὲν γὰρ ἄκεσι οὐ πείθεται, κἢν ἐς τὰ μεγάλα ἰθύνῃς, ἐν ἕδρῃ ἵζει ἡ μελαγχολίη, καὶ ἢν πάντῃ τοῦ σώματος ἐνοικήσῃ, αἰσθήσεσι, γνώμῃ, αἵματι, χολῇ, λάβηται δὲ καὶ νεύρων, αὐτή τε ἐς ἀνήκεστον τρέπεται, ἐσκοτεῖ τε τῷ σκήνεϊ ἑτέρων νοσημάτων τόκοις, σπασμοῦ, μανίης, παραλύσιος· κἢν ἐκ μελαγχολίης τάδε γίγνηται, τὰ ἐπιγιγνόμενα ἀνήκεστα. ἐλλεβόρῳ ὦν χρέεσθαι ἐς ἴησιν τοῦ κακοῦ. ἐπίπροσθεν δὲ τοῦ ἐλλεβόρου χρὴ τόν τε στόμαχον μελετῆ-

b. insanab. c. assuefaciend. Stom.

σαι ἐξεμέειν, καὶ τὰ ὑγρὰ λεπτῦναι, καὶ τὸ σκῆνος εὔροον ποιέειν. ἔμετοι δὲ τάδε ἀρήγουσι, ἄλλοτε μὲν αἱ νήστιες, ἄλλοτε δὲ ῥαφανῖδες. φραζέσθω δὲ πέντε τρόπον καὶ τὴν ὕλην. φραζέσθω δὲ καὶ τοῦ ἐλλεβόρου τὰ εἴδεα τῆς χρήσιος τοῦ τρόπου. καὶ ὅκως προευκρινῆσαι ἕκαστον χρὴ, καὶ ὅκως ἐν τοῖσι ἐμέτοισι ἀρήγειν. ἄπιστον ἐπὶ τοῖσδε, εἰ μὴ ἐλύθη ἐς τὸ πάμπαν ἡ νοῦσος, ἢ πολλῶν ἐτέων ἔσχε διαλείψιας. τὰ πολλὰ γὰρ τοῦδε ἀπότοκοι μελαγχολίαι. ἢν δὲ ἔμπεδος ἥδε, μὴ ἤδη περιμένειν. χρὴ ὦν τὰ ἐς τὸν ἐλλέβορον ἅπαντα πρήσσειν. ὑγιέας μὲν ὦν ἅπαντας ποιέειν ἀδυνάτον τοὺς νοσέοντας. ἦ γὰρ ἂν ἰητρὸς κρέσσων θεοῦ. ἀπονίην δὲ καὶ διαλείψιας, καὶ νούσων ἐπικρύψιας, δρῆν θέμις ἰητρόν. ἢ ὦν ἀπαυδῆν ἐπὶ τοῖσδε καὶ ἀπαρνεῖσθαι προϊσχομένους ἄμφω τὸ αὔδηθες, ἢ καὶ ἐς τέλος τοῖσι ἔργοισι ὁμιλέειν. διδόναι δὲ καὶ τῆς ἱρῆς τῆς δι' ἀλόης ἄλλοτε καὶ ἄλλοτε. καίριον γὰρ φάρμακον τῆς μελαγχολίης τόδε, στομάχου τε ἥπατος, καὶ χολῆς καθάρσιος ἄκος ἐόν. ἀτὰρ καὶ μαλάχης σπέρματος ὁκόσον ὀλκῆς δραχμὴν πιπίσκειν ξὺν ὕδατι, ἄεισον πείρη ὡς ἐπιστώσατο. μυρία δὲ τῶν ἁπλῶν φαρμάκων ἄλλα ἄλλοισι εἴη χρηστά. ἐπὶ δὲ τοῖσι πόνοισι τοῖσδε ἐς ἀνάληψιν ἄγειν. μεταξὺ ἑτέροισι γάρ, ἐς μὲν τὸν τῆς ἰητρείης καιρὸν ἡ νοῦσος, ἐξ ἕδρης δὲ ἐκινήθη. ἢν δὲ ἐς ἀνάπλασιν σαρκῶν καὶ δυνάμιος ὥνθρωπος ἥκῃ, ξυναπηλάθη πάντα τῆς νούσου τὰ ἴχνια. δύναμις μὲν γὰρ φύσιος, ὑγιείην τίκτει· ἀσθένεια δὲ νοῦσον. ἀπίτω ὦν ἐς ἀνάληψιν ὁ νοσέων, πεφυκόσι θερμοῖσι ὕδασι ἐνδιαιτώμενος. τὰ γὰρ τὰ ἐν τοῖσδε φάρμακα, ὀνήϊστα, ἄσφαλτος, ἢ θεῖον, ἢ στυπτηρίη, πολλὸν πλεῦνες τουτέων ἄλλαι δυνάμιες. ἀγαθὸν μὲν γὰρ ὑγρασίη ἐξ αὐχμοῦ τῆς νούσου, καὶ ταλαιπωρίη τῆς ἰήσιος. ἀραιαὶ δὲ καὶ μαλθακαὶ σάρκες ῥηΐσται πρὸς ἄφεσιν τοῦ νοσήματος. ξηραὶ δὲ τε πυκναὶ τοῖς μελαγχολῶσι αἱ σάρκες, ἄλειμμα λιπαρὸν ἅμα τρίψιος εὐαφοῦς, πολλῷ τῷ λίπαϊ δέχονται

ἄρτοι πλυτοὶ, ξὺν τινὶ γλυκεῖ θηραίῳ τῷ κρητὶ, καὶ σκυβελλίτῃ τῷ παμφύλῳ, ἢ οἶνος καὶ μὲν μίξιος παλαιῆς· ὧδε καὶ ψυχροτέρων καὶ θερμῶν τῶν γυμνῶν τῶν ἀπὸ τοῦ ὀστρακοδέος· κρεῶν τὰ μὴ πίονα, καὶ σμηγματώδεα· ὑῶν μὲν πόδες καὶ τὰ τῆς κεφαλῆς, πλωτῶν τὰ πλεῖστα ἀπίονα, θηρείων, λαγωῶν, δορκάδων, πτωκὸς, ὀπώρης, ὁκοῖόν τι ἄρεστον ἦ. ἐπὶ τῇ τοῦ στομάχου ἀναφορῇ προμηθεύεσθαι περὶ τῆς τροφῆς, ὅκως μὴ καταποθεὶς ἀνεμῆται. διδόναι οὖν πρὸ πάντων σιτίων, μελίκρητον κυάθου ἥμισυ, καὶ πιόντα ἐξεμέειν ἐς τὴν τοῦ στομάχου κάθαρσιν. ὧδε γάρ σοι ἡ τροφὴ ἑδραίη μένει· φάρμακα δὲ τῶν ἀναγκαίων καθαρτήρια, πίτυος καρπὸς καὶ κνίδης, τῶν σπερμάτων τοῦ κοκκάλου, καὶ πεπέρεος, ἀμυγδάλων αἱ πικραὶ, καὶ μὲν ἡ τῶνδε ἡ ξύστασις· ἢν δὲ ξηρῶν αἰ θέλῃς, ἄρειστον σμύρνα, καὶ ἴρεως ἡ ῥίζα, καὶ τὸ διὰ τῶν θηρείων φάρμακον, καὶ ἡ τοῦ Βησίνου καὶ Μιθριδάτου, καὶ ἄλλαι μυρίαι· ἐπιθήματα δὲ, ἡ τῶν ἐπιπλασμάτων ὕλη, μελίλωτον, καὶ μήκωνες, καὶ τερμίνθου δάκρυον, καὶ ὕσσωπον, καὶ λίπας τὸ ἀπὸ ῥόδων, ἢ τῆς οἰνάνθης· κηρὸς δὲ τουτέων πάντων πάγος. ἄλειμμα λιπαρὸν, αἰῶραι, περίπατοι, ἀλλ᾽ ὅσα σαρκῶν τὴν ἀνάπλασιν ποιέεται, καὶ δυνάμιος ἰσχὺν, καὶ τῆς φύσιος ἐς τὸ ἀρχαῖον ἀποκατάστασιν.

ad pristinum suum [illegible]

ΘΕΡΑΠΕΙΑ ΦΘΙΣΙΟΣ, κεφ. η.

quemadmodum in navi

ὅκως ἐν νηὶ καὶ γαλήνῃ. καὶ γὰρ εἰ εὐτυχοίη ὁ νοσέων, ἐν θαλάσσῃ γίγνοιτ᾽ ἂν αἰώρῃ, καὶ βιοτῇ. καὶ γάρ τι ξηρὸν ἐς τὰ ἕλκεα ξυνδίδωσι ἅλμη· ἀπὸ δὲ τῆς αἰώρης ἐφησυχάσαντα, χρίεσθαι χρὴ λιπαρῷ λίπαϊ· ἐπὶ τῇσι * τρίψεσι δέξεχὲς καταιονεόμενον ἀπὸ ἁλίδου ἐκ περισαγωγῆς, ἐς κοτύλας πέντε ἢ ἕξ, ἢ πολλόν τι πλεῖον· ἢν δὲ μὴ, ὁκόσον τις δύνηται· πολλάκι γὰρ τόδε μοῦνον

ad feminas v. vj.

in aquam gestari poterit, atque vitam agere & post frictiones

αὐτὴ πάσης τροφῆς ἤρκεσε· γάλα δὲ ἡδὺ μὲν προσάρασθαι· πιεῖν δὲ ῥήϊστον, στερεὸν θρέψαι, καὶ τροφῆς ἁπάσης ἐκ παιδὸς ξυνηθέστερον· ἰδεῖν δὲ τερπνὸν τῇ χροιῇ· φάρμακον δὲ ἀρτηρίῃ ἄκερχνον, διαπτερῶσαι βρόγχον, ἄγειν φλέγμα εὔπνοον, ὀλισθηρὸν δὲ τὴν κάτω διέξοδον· ἕλκεσι δὲ φάρμακον γλυκὺ, καὶ ἄλλου παντὸς εὐμενέστερον. ἢν μὲν ὦν τις πολλὸν τοῦδε πίνῃ, οὐδὲ μιῆς τροφῆς ἄλλης χρέος. ἀγαθὸν γὰρ ἐν νούσῳ ἐνὶ φάρμακον γάλα τωυτὸν γίγνεσθαι, καὶ τροφήν. καὶ γὰρ ἀνθρώπων τῶν γαλακτοφάγων τὰ ἔθνεα, σῖτον οὐκ ἔδῃ· ἄριστον δὲ ξὺν γάλακτι καὶ πολτοὶ, καὶ ἴτρια, καὶ χόνδροι πλυτοὶ, καὶ ὁκόσα ἐδεστὰ ἐκ γάλακτος γίγνεται. καὶ τροφῆς ὑμετέρης δέῃ, ἔστω ὁμοίη, πτισάνης ὁ χυλὸς, εὔπεπτος, λιτή. χρὴ δὲ τοσόνδε ἡδύνεσθαι, ὁκόσον ῥυμφάνεσθαι εὐρηΐστη· ἢν καὶ τῶν ἐς ἡδονὴν τι λαμβάνῃ, καὶ τόδε ἔστω φάρμακον, λιγυστικοῦ κόμην, γλήχωνα, ἡδύοσμον, ἁλῶν βραχὺ, ὄξος ἢ μέλι. ἢν μὲν στόμαχος ἀπεπτέῃ, τόδε παρέχειν· ἢν δὲ μηδὲν ὅδε προσαναγκάζῃ, πάντων ἐστὶ πτισάνη κρέσσων· ἔξεστι δὲ τὴν πτισάνην, ἐς χόνδρον ἀλλάξαι· ἀφυσότερος γὰρ καὶ εὐπεπτότερος, ἢν καὶ ὡς πτισάνη μιγματώδης ἑψέσθω. ἐν τῇσι ὑγροτέρῃσι ἀναγωγῇσι κύαμος καθαίρει ἕλκεα, ἀλλ' ἔστι φυσώδης. πισὸς καὶ ὦχρος ὁκόσον ἀφυσότερα, τοσόνδε ἑλκέων ἀκαθαρτότερα. ξυντεκμαιρόμενον ὦν πρὸς τὰ παρεόντα, τοῖσδε χρῆσθαι. ὄψα δὲ αὐτέων, ἅσσα καὶ ἐπὶ πτισάνῃ λέλεκται· ὠὰ δὲ, ἐκ πυρὸς μὲν ὑδρέα θερμά· ἄριστον δὲ ἐκ ζώων ἀρτίτοκα, πρὶν τὴν *

recens edita Ova

ΘΕΡΑΠΕΙΑ ΗΠΑΤΟΣ, κεφ. ιγ.

ἥπατι ἕλκος ἔσσι ὀλέθριον. ἡ χαλεπωτάτη δὲ ἐς τὴν γαστέρα ξύῤῥοια τοῦ πύου, ἢν τὸν στόμαχον ἴσχῃ ὁδὸν ἐς τὴν ἄνω φορήν. τροφὴ γὰρ αἰτίη τοῦ ζῆν· τροφῆς δὲ ἡγεμὼν ὁ στό-

mid.ta ~~et.~~ prateria Part. int. distribuit

μαχος ποτὶ καὶ τὰ φάρμακα οὐδέ τι εἴσω διαφέρει. ἢν ὦν περὶ ἅπαντα μὲν ὄκνος καταπόσιος ἔλθῃ, θᾶσσον ἐκθανεῖν ἀνάγκη νόσῳ τε καὶ λιμῷ. γνώματα δὲ ἑκάστου χώρου, ὅπῃ τὸ πύον τρέψεται, ἕτερα καὶ ἕτερα, ἤν τε διὰ ἐντέρων ἵκῃ, στρόφοι, γαστὴρ ὑγρή, φλέγματα καὶ χολή, ἔπειτα ξὺν περιρ-ῥοῇ αἱμάλωψ, ἢ περιπλύσιος ὁκοίη κρεῶν ὠμῶν· ἢν δὲ ἐς κύστιν ἔῃ, βάρος ἐν νεφροῖσι καὶ ὀσφύϊ. τὰ μὲν ὦν πρῶτα πολλὰ καὶ χολοβάφια· ἔπειτα θολερά, ἀνυπόστατα καὶ ἀκατάστατα· ἐπὶ πᾶσι δὲ καὶ ἡ ὑπόστασις λευκὴ παρείη. ἢν δὲ ἐς στόμαχον ἄνω ῥέπῃ, ναυτίη, ἀποσιτίη, ἔμετοι φλέγματος, ἢ χολῆς, λειποθυμίη, σκοτοδινίη, μέσφι ξυρρέξῃ. μάλιστα μὲν ὦν ἀποτρέπειν τήνδε. πονηρὴ γὰρ ἡ ὁδός· ἢν δὲ τὸ πύον βιαιότερον εὖ ῥῇ, χρὴ πάντα ποιέειν, καὶ τῷ στομάχῳ ἀρήγειν, καὶ τροφῇσι, καὶ φαρμάκοισι, καὶ διαίταις, πάντα μειλίχως. φαρμάκοισι ἐς τὴν τοῦ κόλπου ἐρχύω· βοτάνην τὴν ὑσσώπου ξὺν μελικρήτῳ πιπίσκειν, καὶ πρασίου τῆς κόμης, καὶ τῆς δὲ ξὺν μελικρήτῳ καὶ χυλῷ τῆς ἀψίνθου. τάδε μέντοι περὶ τῶν σιτίων πίνειν χρεών, ὡς λεπτὰ μὲν τὰ ὑγρὰ γίγνηται, εὔροα δὲ τὰ χωρία, εὔρηκτα δὲ τὰ ἔμπυα σώματα. διδόναι τὸ ὄνου γάλα λεῖον, ἄχολον, εὔτροφον, ἐς τυρὸν ἀσύστατον, ἥπερ ἐστὶ γάλακτος ἀρετή. προστίθει δὲ καὶ χάριτας πόματος καὶ σίτου· κἢν μικρῷ χρόνῳ τῶν ὠφελεόντων ἕωσι διδόναι. ἔσται γὰρ διέξοδος ναυτιώδεϊ καὶ ἀτερπεῖ ὑγρῷ. μετεξετέροις γὰρ ἡ τοῦ πύου δίοδος βλάψαι, μήπω τι καὶ ἀπόσιτοι ἔσονται· κἢν τι λάβωσι εὐηγέες. χρὴ δὲ καὶ ἐπὶ τῇσι ἄλλῃσι ἐκροῇσι, παντοίην μελέτην τοῦ στομάχου ποιέεσθαι· ὅδε γὰρ ἡ πάντων φαρμάκων ὁδός· μεμνῆσθαι δὲ καὶ τοῦ ἥπατος χρεών, ἔνθα τῶν ἑλκέων ἐστὶ ἡ ῥίζα. ἢν δὲ ἐς κύστιν ὁρμᾷ, οὐρητικοῖσι ἐξάγειν, ἀσάρου τῆς ῥίζης, καὶ φοῦ, καὶ ἀδιάντου, καὶ μείου τῶν ἐμπόρων. τάδε μέντοι ξὺν μελικρήτῳ πιπίσκειν· ποικίλον μὲν τὸ Βησίου φάρμακον.

i. id purum esto. k. in ceteris Profusionibus Curam adhibere. l. peratum
m. in Potione sumptis, ex compositis

καὶ τὸ διὰ τῶν φυσαλλίδων ἄριστον· ἠδ᾽ ὁκόσα διὰ πέρης τῇσι ἐπαγνέεται. ἢν δὲ δι᾽ ἐντέρων ἄγῃς, τὸ ἀγωγὸν ἔχεις γάλα, μάλιστα μὲν ὄνου· ἢν δὲ μή, αἰγός, ἢ μήλων. χυλοὶ δὲ ὀλισθηροὶ καὶ σμηγματώδεες, ὁ τῆς πτισάνης, ὄψα, πέπερι, ζιγγίβερι, λιγυστικόν· ἀθρόον δὲ εἰρῆσθαι ἀμφὶ πάσης διαίτης, ἐπὶ πάσῃ συῤῥήξι, τροφαὶ μὲν εὔχυμοι, εὐστόμαχοι, εὔπεπτοι, ἢ χυλοί, ἢ διὰ γάλακτος πόλτοι, ἄμυλοι, ἰτρία ξὺν γάλακτι.

ΘΕΡΑΠΕΙΑ ΣΠΛΗΝΟΣ, κεφ. ιδ.

Σκίρρου τοῦ ἐπὶ σπληνὶ λύσιες οὐ ῥηΐσται· ἢν δὲ καὶ ἀπότοκοι τῶνδε νοῦσοι γένωνται, ὕδρωψ, ἢ καχεξίη, ὀκέλλει τὸ κακὸν ἐς ἀνήκεστον, τὸν ἰητρὸν τὸν σκίρρον ἰῆσθαι. χρὴ ὦν ἀποτρέπειν γιγνομένους, καὶ λύειν ἄρτι ἀρχομένους· ἐνίστασθαι δὲ τῇσι φλεγμονῇσι, ἢν γὰρ οἱ σκίρροι διάδοχον ἐς διαπνοίην ἄγωνται τὴν ἀπόστασιν. τὰ δὲ γὰρ φλεγμασίης ἰητρείοισι δὲ χρέεσθαι, ὁκόσα μοι ἐν τῇσι ὀξείῃσι λέλεκται. ἢν δὲ πάντα τοῖς προσήκοντι ἐν φλεγμασίῃ ὁ σκίρρος ἐμμένῃ, καὶ πυρὶ ἰκέλοισι χρέο ἐς μάλθαξιν τῆς σκιῤῥίης, τέγξεσι δι᾽ ὄξεος, καὶ ἐλαίου, καὶ μέλιτος, αὐτὶ δὲ εἰρίων, πτύγματα ἔστω ἀπὸ λίνου. ἐμπάσσειν τῷ δὲ τῆς μυροβαλάνου σεσησμένης, ἐπιπλάσμασί τε τοῖσι μαλθακωτάτοισι

vino lanarum pannos lin-teos complicatos adhibe

ΑΡΕΤΑΙΟΥ ΚΑΠΠΑΔΟΚΟΥ,

χρονίων παθῶν θεραπευτικὸν βίβλιον β.

* *

ΘΕΡΑΠΕΙΑ ΔΙΑΔΗΤΟΥ, κεφ. β.

Ὕδρωπος ἰδέῃ τοῦ διαβήτεω πάθος αἰτίῃ καὶ διαθέσι, χώρῃ δὲ μούνῃ διάφορον, ἔνθα τὸ ὑγρὸν ἐκρέει. ἀσκίτῃ μὲν γὰρ δοχεῖον τὸ περιτόναιον, οὐδ' ἐκροὴν ἴσχει, ἀλλὰ μίμνον τῇδε πλημμυρεῖ· διαβήτεω δὲ φορὴ μὲν ὑγροῦ ἡ ἀπὸ τοῦ πάσχοντος ἔσω τῇ καὶ σύντηξις· ἐς δὲ νεφροὺς καὶ κύστιν ἡ ξυνόδοσις· καὶ περὶ ἔξοδον φέρει· ἥδε τοῖσι ὑδεριῶσι ἡ ὁδὸς ἐπιγίγνεται, ἣν ἐς ἀγαθὸν ἡ νοῦσος ῥέπῃ. ἀγαθὸν δὲ ἡ λύσις τῆς αἰτίης, καὶ μὴ τοῦ ἄχθεος ἡ ἀφαίρεσις μοῦνον· δίψος δὲ τουτέοισι μέζον· ἐκκρέον γὰρ τὸ ὑγρὸν αὐαίνει· ἔστι δὲ τὰ ἄκεα ἐς τὴν ἐπίσχεσιν τῆς ξυντήξιος, τὰ ὠυτὰ τοῖσι ὕδρωψι· ἐς δὲ τὸ δίψος μεγάλης ἰητρείης χρέος. τόδε γὰρ ἐν τῷ εἴδει ἀλγέων πάντων μέζον· καὶ ἢν πίωσι τὸ ὑγρόν, περίκλησις οὐρήσιος· ποτὶ καὶ ἐκθέον τόδε ξυναπάγει τὴν κορ τὰ ἐν τῷ σκήνεϊ. φαρμάκων ὦν ἀδίψων χρέος. δίψος γὰρ μέ-

1. 2i species
Caus. & aff.m
Parte [illegible]
humor [illegible]
differens
2 receptaculum
& contabescit
& hq. confluit
modest solutio
causae
levatio
exsiccat Corp.
in hoc malo
ista sitis.
Ipsa pro-
fluens se-
cumq. educit
multa in Corp. liquefacta
remedia sitim temperant

[illegible] ... inspleb

γα, ἀκοείη ποτοῦ· πότον γὰρ οὐδ᾽ ὅσον γίγνηται δίψεος ἄκος. ταύτῃ δεῖ τῷ στομάχῳ ἀρήγειν ἔνθα τοῦ δίψεος αἱ πηγαί. ἢν οὖν τῇ ἱερῇ καθάρσῃς, ἐπιθήμασι χρέο, νάρδῳ, μαστίχῃ, φοίνιξι, μήλοισι κυδωνίοισι ὠμοῖσι· τῶνδε ὁ χυμὸς μὲν ξὺν νάρδῳ καὶ ῥοδίνῳ ἄριστον ἐς τέγξιν· ἐπίπλασμα δὲ ἡ σὰρξ αὐτέων ξὺν μαστίχῃσι καὶ φοίνιξι· ἐν κηρῷ δὲ καὶ νάρδῳ τῷ μύρῳ ἡ τουτέων μίξις ἀγαθή, ἢ οἱ χυλοὶ ἀκακίης τε καὶ ὑποκύστιδος, ἔς τε τὰς τέγξιας καὶ ἐς τὰ ἐπιπλάσματα. ἀτὰρ καὶ ὕδωρ τὸ ποτὸν, ξὺν τῇσι ὀπώρῃσι ἑψείσθω. τροφαὶ δὲ καὶ γάλα καὶ ξὺν τῷδε σιτία, ἄμυλοι, χόνδροι, ῥοφήματα, οἶνοι στύφοντες ἐς τὸν τοῦ στομάχου τόνον, ἀκρητέστεροι μᾶλλον, ἐς τὴν τῶν ἄλλων χυμῶν ἐξηέρωσίν τε καὶ διάνιψιν. ἁλμώδεσι γὰρ δίψος· οἶνος δὲ στύφων τε ἅμα καὶ ψύχων μεταβολῇ τε καὶ εὐκρασίῃ· ἐς δύναμιν δὲ κὴν οἶνος γλυκὺς ὁκοῖος αἷμα ἔῃ ἐς τὴν αὐτοῦ γεννᾶν. φάρμακα ποικίλα τὰ ὠυτὰ, ἢ διὰ τῶν θηρίων, ἢ τοῦ Μιθριδάτεω, ἢ διὰ τῶν ὀπωρέων, τά τε ἄλλα ὁκόσα ὕδρωπος ὀνηϊστά. ἀτὰρ καὶ ἡ ξύμπασα δίαιτα καὶ ὁ βίος ὡυτός.

ΘΕΡΑΠΕΙΑ ΛΙΘΙΑΣΕΩΣ ΚΑΙ ἑλκώσεως νεφρῶν, κεφ. γ.

ΑΜφὶ μὲν φλεγμασίης καὶ αἱμοῤῥαγίης, καὶ ὁκόσα ὀξέως ἀπὸ νεφρῶν κλίνει, ἐν τοῖσι ὀξέσι γεγράφαται· ἀμφὶ δὲ ἑλκώσιος, ἠδὲ λίθων γενέσιος, ὁκόσα τὰ πολλὰ ξυναποθνήσκει πρεσβύτῃσι, μάλιστα νῦν γράφω, ἄγχιστα μὲν ἐς ἄκεσιν· εἰ δὲ μὴ, οἷσι ὅγε παρηγορήσεται. λίθων μὲν ὦν εὐφυῆ γεννᾶν ἐς ἄγονον τρέψαι ἀδύνατον. ῥηΐτερον μὲν γὰρ μήτρην ἄτοκον θέμεναι, ἢ νεφροὺς λιθιῶντας ἀλίθους. ἐς δὲ ἔξοδον ὅκως ἀρήγειν χρή. ἢν ὦν ἐνερρηΐζωσι οἱ λίθοι, τὰ ἄκεα φράσω. κάρτα

malacung. Folio ...
malis cyd. crudis
ung. nardino
pro Potu
meracius
ad evaporand. dispandasq. salsibus
sang: procreat Vin. d.
ad sanat: si Pueri ... minus, ut dol-leniantur; b. in-idoneum fa-cere habilem aptum ad procr.
c. ad transitum
& ab calc: generato prohibero Renes calc. creandis aptos

1. semet invicem contingunt

γὰρ ὀδυνέονται, ποτὶ καὶ ἐξέθανον στρόφοισι καὶ εἰλέῳ κώλου, καὶ ἰσχυαλγίῃ. ξυναφέα γὰρ ἀλλήλοισι νεφροί τε καὶ κῶλον. ἢν γὰρ λίθων ἐνστάσιες ἔωσι, ἐπὶ δὲ τοῖσι ἰσχυαλγίη τε καὶ στρόφω, ἐπὶ τῷ σφυρῷ τάμνειν φλέβα τὴν κατ' ἴξιν τοῦ νεφροῦ. αἱ γὰρ τοῦ αἵματος ἀπὸ νεφρῶν ἐκροίαι ἀνιᾶσι τῶν λίθων τὰς σφύξιας. φλεγμονὴ γὰρ δήσασα ἴσχει τὰ πάντα. φλεγμονῆς δὲ κενεαγγείη λύσις· τέγγειν τε τὰς ψύας ἔνθα τῶν νεφρῶν ἡ χώρη· λίπας δὲ παλαιὸν ἢ τὸ νέον ῥυτὸν ἴσχετο· οὐρητικὸν δὲ καὶ ἀνήθου ἡ κόμη, καὶ λιβανωτὶς ἢ σάμψυχον. τοῖσδε χρὴ ὄκως ὕδωρ καταιονέειν. σμικρὸν γὰρ αἱ χρήσιες. ἀτὰρ καὶ τοῖσδε πυελίῃ, βοείῃσι κύστεσι ἐγχέοντα ἔλαιον ἀνθέμιδος. ἐπιπλασμάτων νῦν ὕλη ξὺν τοῖσι ἀλίποισι ἡ αὐτή. ἔλυσε καὶ σικύη κουφίη κοτὲ τῶν λίθων τὴν ἔνστασιν· ἄρειον δὲ κὴν ἐπὶ φλεγμασίης στάσης. ἢν δὲ τάδε σοι ποιέοντι ἔτι μίμνωσι οἱ λίθοι, ἐς ἔλαιον τὸν ἄνθρωπον καθιέναι. τὸ γὰρ τοι ἅμα πάντα ποιέει θαλέειν μὲν χαλᾷ· τῇ δὲ ἐγγλισχραίνει· τὸ δριμὺ δὲ ἐς περιθυμίην δάκνει. τάδε μέντοι ἔξοδα λίθων, καὶ σφῶν περικλήσιες· πίνειν δὲ φαρμάκων τῶν ἁπλῶν μὲν ῥίζας, φοῦ. μεῖον, ἄσαρον· βοτάνας δὲ, τὴν τριονίτην, ἢ πετρόσελι, ἢ σίον, ποικίλων δὲ μύρα μὲν ὁκόσα ἴσχει νάρδον, κασίην, σμύρναν, κινάμωμον.

adhos. 1. Jul. 97. qui affecto renis in directum sacet.

3. relax. Arteri[ae]: ut calc

4. lumbi

5. rosmarinus

6. parumper sunt

7. inf. Cham.

8. Ol. in Vesic.

9. Tepor relax at quod amor acriditas facit.

10. acrimonia irritat ad ext.

* * *

ἀπουλώσει σίνηπι, καὶ ἐκ πυρὸς ἐσχάραι, καὶ ἐπιθήματα ἃ πρόσθεν μοι λέλεκται· δίαιτα δὲ καὶ ἄλειψις, καὶ πλοῦς καὶ ἡ ἐν θαλάσσῃ βιοτή, ἅπαντα τοῖσι ἐπὶ νεφρῶν ἐστὶν ἄκεα.

12. Endurend. Cicatrici 13. Unc. 11. Ung. gt. navigatio

ΘΕΡΑΠΕΙΑ ΓΟΝΟΡΡΟΙΗΣ, κεφ. ε.

Καὶ τοῦ ἀτερπέος τοῦ πάθεος εἵνεκεν, καὶ τοῦ κατὰ σώτηξιν κινδυνώδεος, καὶ τῆς ἐς διάδεξιν γένεος χρείης, λύειν χρὴ

1. propter Impetid.

2. ad usum procr. liber.

1. sang.m fluxio com.s 2. lumb. Ilia &c

μὴ βραδέως τὴν γονόῤῥοιαν, πάντων κακῶν οὖσαν αἰτίην. Θεραπεύσαι μὲν ὧν ὅκως ῥεῦμα κοινὸν ἴησθαι· σύψιες τὴν ἀμφὶ τὴν κύστιν καὶ τὴν ῥοιὴν τῶν χωρέων, καὶ ἐμψύξιες ψοῶν, λαγόνος, αἰδοίων, διδύμων, ὅκως μὴ ῥέῃ ἐς πολλὸν ἡ γονή· ἐς τὰ αὖθις ἀλεῖψαι τὸ πᾶν, ἐς τὸ τὰς ἀφόδους ξηραίνειν. σύψιες μὲν ὧν καὶ πήξιες, ἔλαιον μὲν, τὸ ἀπὸ τῆς οἴος ξὺν τοῖς λύμασι· λίπας δὲ τὸ ῥόδινον μύρον, ἢ τὸ διὰ τῆς οἰνάνθης ξὺν οἴνῳ λευκῷ εὐώδεϊ, ἐκ προσαγωγῆς δέ. ἀλεαίνοντα λίπας τὸ κοινὸν, καὶ μάλιστα ἐκζεσθὲν σὺν αὐτῷ, καὶ σάμψυχον, καὶ λιβανωτὸς, ἢ κόνυζα ἄριστον καὶ ἀνήθου κόμη, καὶ ἔτι μᾶλλον ἡ ῥυτή· τοῖς δὲ, ἐς τὰ ἐπιπλάσματα χρέο, κριθῶν καὶ ὀρόβων ἀλήτοισι, καὶ ἐρυσίμου τοῦ σπέρματος. καὶ νίτρον· μάλιστα δὲ ἐς τὴν ἁπάντων ξύμπνοιαν καὶ ξυνάφειαν. τάδε καὶ ἐπιπλάσματα, ὁκόσα φοινίσσει, καὶ ἰόνθους ἐγείρει, καὶ τὸ ῥεῦμα παροχετεύει, καὶ ἀλεαίνει τὰ χωρία. τοιόνδε τὸ χλωρὸν ἐπίπλασμα, καὶ τὸ διὰ τοῦ καρποῦ τῆς δάφνης· πιπίσκειν δὲ καὶ τοῦ κάστορος συχνὸν, καὶ τῆς ῥίζης τοῦ ἁλικακκάβου ὁκόσον δραχμῆς ὁλκῆς, καὶ τῆς ἡδυόσμου τὸ ἕψημα· ποικίλων δὲ τὸ διὰ τῶν δύο πεπερέων, ἢ Σύμφωνος, ἢ Φίλωνος ἄριστον, καὶ διὰ τοῦ σίγχου τοῦ θείου φάρμακον ποτὸν, καὶ ἡ τοῦ Βησίνου, καὶ ἡ διὰ τῶν ἐχιδνῶν τῶν ἑρπετῶν. τὸ ξύμπαν δὲ διαίτῃ διδόναι, ἐπιτρέπειν τε καὶ πιστεύειν χρὴ καὶ γυμνασίοισι καὶ περιπάτοισι καὶ αἰώρῃσι. τάδε γὰρ τὴν ἕξιν ἐς θερμασίην τρέπει, ὅπερ ἐπὶ τῶν παθέων χρέος. εἰ δὲ καὶ σώφρων ἔοι ἐπὶ τοῖσι ἀφροδισίοισι, καὶ λούοιτο ψυχρῷ, ἐλπὶς ὡς ὤκιστα ἀνδρωθῆναι τὸν ἄνδρα.

ΘΕΡΑΠΕΙΑ ΣΤΟΜΑΧΙΚΩΝ, κεφ. ε.

Η Ἐν τοῖσι ἄλλοισι πάθεσι μετὰ τὴν κρατίστην δίαιταν, ἐς ἰσχὺν καὶ κράτος τοῦ σώματος, εὐπεψίη ἀγαθή· στομαχικοῖσι δὲ

3. calefaciendum ad vias exsiccandas. 4 ad. q. Lana ab ove sordida. Ung. rosac. pro Oleo. 8. Calor movend. sensim. Ol. com: 5 farina hord, Ervi 6 excitant Pustulas 7 Empl. vir. 8 Menth. 9 idq. q. ut Best. Scinck ad Pot. impar. 10. cujus Rei aff. indiget 11. si temperet a Ven: 12. ut habitum virilem q.m cel.me acquirat.

1. bona concoct. ista autem in stomach. solis offendit

μούνοις ἥδε γίγνεται πλημμελής. ὅκως ὦν αὕτη γίγνοιτο φεύγειν πρὸ παντὸς ἄξιον. ἱκανὴ γὰρ αἰώρη, περίπατοι, γυμνασίη, φωνασκίη, τροφαὶ ἐς πέψιν ἀγαθαὶ ἀναμαχέσασθαι τὴν τοῦ στομάχου κακοσιτίην· ἀδύνατον δὲ τάδε καὶ ἀπεψίην λῦσαι μακρήν, καὶ τὴν σκελετίην τοῦ σκήνεος ἐς ὄγκον σάρκας ποιῆσαι· πολλὸν δὲ μέζον ἐπὶ τουτέων ἔστων αἱ τῶν καμνόντων χάριτες, καὶ τὸ καθαρῶς ἅπαν δρᾶν, καὶ τοῖσι ἐπιθυμίῃσι ἕπεσθαι τὸ ἰητρὸν, μὴ μεγάλα βλάπτοντα. ἄριστον γὰρ τόδε, ἢν μὴ κάρτα ὠφελῶν τῶν ὀρέξιος ἥκῃ. φάρμακα δὲ ποτὰ, χυλοί, ἀψίνθιον, καὶ νάρδος τὸ μύρον, καὶ ἡ διὰ τῶν θηρίων, καὶ τοῦ ἐν πέτρῃσι ὁ καρπὸς, καὶ ζιγγίβερις, καὶ πεπέρεως, καὶ σεσέλιος· τάδε πεπτήρια καὶ κατὰ τοῦ στέρνου ἐς σύψιν ἐπίθημα, νάρδοι, μαστίχαι, ἀλόαι, ἀκακίαι, καὶ μήλων κυδωνίων ὁ χυλός· καὶ αὗται δὲ τῶν μήλων αἱ σάρκες ἀμφιθλασθεῖσαι ξὺν φοίνιξι ἐπίθημα σύφον. ἀτὰρ καὶ τἄλλα ὁκόσα μοι ἐς διὰ βίπεω γεγράφαται ἐς δίψεος ἄκος. τὰ ωὐτὰ γὰρ καὶ τοῖσι δίψος γίγνεται· ὁ δὲ πόνος τοῦ στομάχου ἄδιψον στομαχικοῖσι.

constitutio sibi vacet in Stomachicis

ΘΕΡΑΠΕΙΑ ΚΟΙΛΙΑΚΩΝ, κεφ. ζ.

Ἡν τῶν σιτίων ἀκρισίης ἡ κοιλίη ἔῃ, διαῤῥέῃ δὲ ἡ τροφὴ ἄπεπτος, ἄθρεπτος, ὠμὴ, καὶ μηδὲν εἰς τὸν ὄγκον αἰέῃ, κοιλιακοὺς τούς δε κικλήσκομεν. ψύξει μὲν ἐμφύτω τῷ τῆς ἐς πέψιν θερμασίης, ἀτονίῃ δὲ τῆς ἐς ἀνάδοσιν δυνάμιος. χρὴ ὦν τὴν κοιλίην πρὸ πάντων μὲν πόνων ἀνιέναι, ἠρεμίη, καὶ ἀποσιτίῃ. ὧδε γὰρ παλινδρομέουσι αἱ δυνάμιες· ἢν δὲ καὶ πλῆθος τὶ ἐν τῷ στομάχῳ φαντασίη ἔῃ, νήστεσι ἐμέτοισι χρέεσθαι ἀφ' ὕδατος ἢ μελικρήτου· τὴν κοιλίην δὲ σκέπειν καὶ τέγγειν ἐς σύψιν, ἐρίοισι μὲν τοῖς ἐξ οἴοος πιναροῖσι· λίπαϊ δὲ ῥοδίνῳ μύρῳ, ἢ τῷ διὰ τῆς οἰνάνθης, ἢ μηλίνῳ· ἄριστον κὴν ἀπὸ

zgendus

1. Vocis exercitatio
2. ad expugnand. vitia
3. neq. habitum gracilentum carnos. efficere
4. commode exprimentia
5. Appetitus
6. Petroselini semina
7. hec ad concoct. valent
8. contusa caro
2. Stomachi

1. si retineo
2. neq. cibos effluat
2. imbecill. digerendi
3. Jejunis ex aq. vel mulsa 4. Ventriculus obte-

1. Lentiscino. 2. Oliva immatura
3. ad Tactum

τοῦ σχοίνου, καὶ ὑποκυστίδος, ἢ ὀμφακίου· ξὺν τοῖσδε δὲ ἐπι-
πλάσματα, θερμὰ μὲν ἐς θίξιν, ἐς δύναμιν δὲ στρυφνά· καὶ
ἢν πη τοῦ ἥπατος ἢ τῆς κοιλίης κατὰ στόμα ἐντάσιες, ἢ φλε-
γμασίαι ἔωσι, σικύην προσβάλλοντα ἐντάμνειν· καὶ ἔστι οἷ-
σι τόδε μοῦνον ἤρκεσε· ἐπὴν δὲ κηρωτῇσι ἐς οὐτειλὴν ἥκῃ
τὰ τρώματα, ἢ δὲ ἐπὶ σκληρείῃ κραίνῃ, τῇ δὲ βδέλλας τὰ θη-
ρία προσβάλλειν· ἔπειτα ἐπιθήματα πεπτικὰ τιθέναι, ὁκοῖον
τὸ διὰ τῶν σπερμάτων, ἢν ἔχῃ χαμαιλέοντος ῥίζαν, ἄριστον, καὶ
ἔνθα οἱ τῆς δάφνης ἔασι καρποί, καὶ τὸ μάλαγμα ἐπίκλη-
σιν τὸ χλωρὸν, καὶ τοὐμὸν τὸ μυστήριον. τάδε γὰρ μαλάσσει τε
καὶ ἀμύσσει, καὶ θερμασίην ἐγείρει, καὶ ἄφυσα τὰ σπλάγχνα
ποιέει, ὧν γὰρ ἐς σύψιν χρέος. ἀτὰρ καὶ σίνηπι καὶ λίμνησις,
καὶ εὐφόρβιον, καὶ ὁκόσα τοιάδε πάντα τὴν μὲν ψύξιν κωλύει,
ἀνάκλησιν δὲ θέρμης ποιέεται. τοιάδε χρὴ καὶ ἐπιπίσκειν φάρ-
μακα ἐς σύψιν. χρέος μὲν πρόπιστα, ὁ τοῦ ἀρνογλώσσου χυ-
λὸς ξὺν ὕδατι ἐσυμμένῳ μύρτοισι, ἢ κυδωνίοισι μήλοισι·
ἄριστον ἢ γίγαρτον σαφυλῆς ὀμφακίτιδος· οἶνοι τῶν κάρτα
συφόντων· ἔπειτα δὲ τὰ ἀλθαίνοντα τὴν γαστέρα φάρμακα, ποτὰ
ὁκόσα διὰ ζιγγιβέρεος καὶ πεπέρεος, καὶ σελίνου τοῦ καρποῦ τοῦ
ὀρείου τοῦ ἐν πέτραις, τὸ διὰ τῶν θηρείων τῶν ἐχιδνῶν πη-
κικρότατον· ἢν δὲ ἐπὶ τοῖσι μηδὲν ἢ σμικρὸν ἐνδιδῷ, τοῖσι ἀπὸ
ῥαφανίδων ἐμέτοισι χρέο· ἢν δὲ καὶ ἐγκρύψῃς ταῖσδε ἐλλε-
βόρου τοῦ λευκοῦ ῥίζαν ἐς μίην νύκτα, εὐτονωτάτη ἄν σοι γένοι-
το ἡ κάθαρσις, ἔς τε τὴν τῶν ὑγρῶν τῶν ψυχρῶν κάθαρ-
σίν τε καὶ ἔκκρισιν, καὶ ἐς τὴν ἔξαψιν τοῦ θερμοῦ· ἀτὰρ καὶ
ἡ δίαιτα καὶ ὁ βίος τοιάδε ἔστω ξύμμετρα. οἱ ὕπνοι νύκτωρ
μὲν, δι᾽ ἡμέρης δὲ περίπατοι, ἀναφωνήσιες, αἰώρη ἥτε ἐν δά-
φνῃσι, ἢ μυρρίναισι, ἢ θύμῳ. ἔχει γάρ τι ἡ διαπνοὴ καὶ ἡ ἀνα-
πνοὴ τοιόνδε φάρμακον πεπτήριον· γυμνάσια, τρίψιες, χειρονο-
μίη, ἀλτήρων βολαῖσι τοῦ θώρηκος, καὶ τῆς κοιλίης κόποι,

4. suffic[it] 5 devenerit ad Durit[iem]: Hirud. 6. ad Concoct. superimpon. 7. meum, ut id appello. Mysterium 8 incidunt 9. Plantag. suc. cum aq. ced... dita astring. 10 Acinus Uva immat. 11. cp Petroselini sem. 12. coagmentata 13. valentissimam Purg. 14. quo succendet 15 Gesta Mo-der.

16. Perspirat. Spir: adductio quoddam habent concoct. adjuvans

17. Propinationes, nam panis minimo ad robur confirm.: valet

17
προπόσιες. σμικρότατα γὰρ εἰς τόνον εὐσταλὲς ἄρτος. ἐπὶ τῷ-
δε φοίνιξις, περίπατοι ῥαθυ- * *

ΘΕΡΑΠΕΙΑ ΑΡΘΡΙΤΙΔΟΣ καὶ ἰσχιάδος, κεφ. ιϛ.

* Σικύων καὶ ῥαφανίδων πολλάκις· ἔπειτα ἐς τὸν ἐλλέβορον ἄγειν· δίαιτα δὲ ἡ ἐπὶ τοῖσδε, ξυνὴ τοῖσι ἄλλοισι πάθεσι, καὶ ἐπὶ τῇ διαίτῃ, ἄλειψις, ψυχρολουσίη θαλασσίη. μάλιστα μὲν ὦν, ἅπασι ἀρθριτικοῖσι ξυνὰ ἄκεα· καὶ γὰρ καὶ τοῖσι ποδαγρικοῖσι ἐλλέβορος τὸ μέγα ἄκος· ἀλλὰ ἐν τῇσι πρώτῃσι προσβολῇσι τοῦ πάθεος. ἢν δὲ ἐκ πολλῶν μὲν ἤδη χρόνων ἔῃ, ἀτὰρ καὶ ἐκ διαδέξιος πατέρων φανῇ, ξυναποθνήσκει ἡ νοῦσος· ἐς δὲ τοὺς παροξυσμοὺς τῶν ἄρθρων, τάδε χρὴ προσφέρειν· εἴρια μὲν ἔστω δὲ οἷος τὰ οἰσυπώδεα· τέγξιες δὲ διὰ ῥοδίνου καὶ οἴνου· μετεξετέροισι δὲ καὶ σπογγίη ξὺν ὀξυκρήτῳ ὤνησεν. ἔπειτα ἐπίπλασμα ἄρτος, ξὺν τοῖσι ψύχουσι κολοκύντης καὶ πέπονος, καὶ σικύη λιτὴ, καὶ ἀρνόγλωσσον ἡ βοτάνη, καὶ ῥόδων τὰ φύλλα. ἀτὰρ καὶ ἡ σιδηρεῖτις ἄπονος ξὺν ἄρτῳ, καὶ βείῳ, καὶ συμφύτου ῥίζα, καὶ πεντάφυλλος ἡ βοτάνη, καὶ πράσιος ἡ τοῖσι φύλλοισι λεπτή. τῆσδε μέντοι τὸ μὲν ἀφέψημα, ἐξάντλημα ἄπονον· αὐτὴ δὲ ἐπίπλασμα ξὺν ψιξὶ, ἢ κριθῶν ἀλίτῳ· μήλων τε τῶν κιτείων τὸ ἄβρωτον ξὺν ἀλφίτοισι ἄριστον· σῦκα ξηρὰ, καὶ θάσια, ξὺν τινὶ τῶν ἀλίτων. ἥδε μέντοι ψύξιος ἡ ὕλη· καὶ τόδε μέντοι ἄλλοτ' ἄλλον ὤνησε, καὶ τωυτὸν ἄλλοτε ἄλλῳ· μετεξετέροισι δὲ, τὰ ἀλεαίνοντα ξυμφέρει, καὶ τωυτὸν ἄλλοτε ἄλλῳ ὠφελέει. λόγος δὲ καὶ τόδε κάρτα ἄπονον ἔμμεναι· αἶγα χρὴ βοτάνης τῆς ἴρεως ἐμφαγεῖν· ἐπὴν δὲ πλησθῇ, διαλείποντα ὁκόσον ἡ νομὴ ἐν τῇ γαστρὶ μαχθείη, καταθῦσαι τὴν αἶγα, ἡ δὲ ἐντὸς τῆς γαστρὸς ἐς τὴν κόπρον ἐγκρύψαι

1. radicularum Eru. & post Victum inunctio, lavatio frig: in mari. i: Acc.

succid. Lanae et posea

dolorem mitigat

& marrub. : foliis tenuibus est

a. Pan. mica

V pars cibo non apta

c polenta

c amygd.

capram Iride pasci opt. ad sat. interposito temp. q. m. consie.do pabulo in Ventre, mactatum f.

sibi plurima Med. comparare

τὼ πόδε· φάρμακα δὲ μυρία. καὶ γὰρ τοῖς νοσέουσι, ἑωυτῶν φαρμακείας εὐπόροις ἔθησι ἡ ξυμφορή· τῶν δὲ ἰητρῶν τὰ φάρμακα, ἐν τῇσι γραφῇσι λελέξεται.

ΘΕΡΑΠΕΙΑ ΕΛΕΦΑΝΤΟΣ, κεφ. ιγ.

Τῶν νούσων μέζονα χρὴ τὰ ἄκεα ἐς λύσιν αὐτέων ἔμμεναι· ἐλέφαντος δὲ τηλίκου κακοῦ, τίς ἀξιόνικος γένοιτ' ἂν εὑρεῖν. οὐ γὰρ μέρεϊ ἢ σπλάγχνῳ ἑνὶ, ἢ ἔνδον ἐνσκήπτει μοῦνον, ἢ ἔξω τὸ κακὸν ἕρπει, ἀλλὰ ἔνδοθί τε ὅλῳ τῷ ἀνθρώπῳ ἐνοικέει, καὶ ὅλον ἔξωθεν ἀμπέχει. ἀτερπὲς μὲν καὶ φοβερὸν ἰδεῖν· θηρίου γὰρ ἰδέη· δέος δὲ ξυμβιῶναί τε, καὶ ξυνδιαιτᾶσθαι, οὐ μεῖον ἢ λοιμῷ· ἀναπνοῆς γὰρ ἐς μετάδοσιν, ῥηιδίη βαφή. τί ἂν ὧν εὕροι τις ἐν ἰητρικῇ οὐδὲ ἄξιον ἔχον ἄκος. ἀλλὰ γὰρ πάντα χρὴ ξυμφέρειν φάρμακα, καὶ δίαιταν, καὶ σίδηρα, καὶ πῦρ· καὶ τάδε, κἢν μὲν ἔτι νεοτόκῳ τῷ πάθεϊ προσβάλῃς, ἐλπὶς ἰήσιος· ἢν δὲ ἐς ἀκμὴν ἥκῃ ξυνέστιος, καὶ ἐν τοῖσι σπλάγχνοισι ἑδραῖον ἵζῃ, ποτὶ καὶ ἐς τὰ πρόσωπα προσβάλῃ, ἀνέλπιστος ὁ νοσέων. τάμνειν ὧν τὰς ἐπ' ἀγκῶνι φλέβας· ἄμφω δέ· τάμνειν δὲ καὶ τὰς ἐπὶ σφυροῖσι αὐθημερόν. κρέσσον γὰρ ἡ διάστασις, ἔς τε πολλὴν τὴν τοῦ αἵματος ῥοὴν, καὶ ἐς ἀνάκλησιν τῆς δυνάμιος. χρεὼν γὰρ αἷμα πολλάκις καὶ πολλ' ἐκχέαι, τοῦ πάθεος τὴν τροφήν· σμικρὸν δὲ ἐν αὐτέῳ τὸ χρηστὸν τῆς φύσιος ἡ τροφή. ξυντεκμαίρεσθαι ὧν ἀφαιρέοντα τὸ πονηρὸν καὶ ἐντήκιον, μεσηγὺ τὸ οἰκεῖον, μέσφι ἂν προαπαυδήσῃ ἀτροφίῃ ἡ νοῦσος. ἡ γὰρ νεαρὴ ξυμπλακεῖσα τῷ σώματι, χρόνῳ μακρῷ ἠμαύρωσε τὴν παλαιήν. ἔπειτα τὴν ἱερὴν πιπίσκειν μὴ ἐσάπαξ· ἀλλὰ γιγνέσθω πάντα πολλάκις, ἐξ ἀναλήψιος καὶ παλινδρομίης. ἔστω καὶ ἡ ἄλλη κάθαρσις φαρμακώδης ἐν σιτίῳ· ἢ ἐπὶ τῷ ἰσχίῳ ἡ ἔλλεξα ἔστω. ἡ δὲ γάλα ἀδιάκριτον· πολλὸν δὲ ἔστω τόδε ἐς διαχώρησιν

quanam possit effingi parare medela.
2. impingitur
3. complectitur.
4. vitiant homines met.
5. contagio. Inf. aeris insp.
6. ac insuper
7. Temp. 1 Inter- 2 jectio prast.
8 ut interim sang. idoneus servetur
9. novus libus corruptus corp.
10. extinguit
11. post rejectum
12. ut in Ischiad: curat.

ad alv. sol. 2 effluere pot! 5a pars aq. ut id omne 3. quolibet temp.

διαχώρησιν πιεῖν. ἐχέτω δὲ μοίρην τὴν πέμπτην ὕδωρ, ὡς μὴ τὸ γάλα διεκθέειν, ἐς ἐμέτους δὲ ἐπάγειν νήστιας τὸ πρῶτον ἀπὸ σίτων· δι' αὖθις ἔπειτα ἀπὸ ῥαφανίδων. πολλάκις δὲ καὶ ξυνεχέως πάντα γιγνέσθω. ἐς ἐλλέβορον ἄγοντα καιρῷ παντί, μᾶλλον δὲ ἦρος καὶ φθινοπώρου διδόναι ἡμέρην ἀφ' ἡμέρης· καὶ αὖθις ἐς νέωτα κἢν ἡ νοῦσος κρατυνθῇ, φαρμάκων ποτῶν, ὁκόσα τις γιγνώσκει πιπίσκειν. ἀγαθὸν γὰρ φαρμακεύειν πολλὸν ἐς ὄνησιν. κἀγὼ δὲ ὁκόσα γιγνώσκω γράφω, κεδρίης κύαθον ἕνα· κράμβης δύο μίσγοντα διδόναι. ἄλλο. σιδηρίτιδος τοῦ χυλοῦ κύαθος εἷς, τριφυλλίου εἷς, οἴνου καὶ μέλιτος κύαθοι δύο. ἄλλο. ἐλέφαντος τοῦ ὀδόντος ῥινήματος ὁλκῆς δραχμή, ξὺν οἴνῳ κρήσιος κυάθων δύο· ἀτὰρ καὶ τῶν ἐχέων τῶν ἑρπετῶν θηρίων αἱ σάρκες, καὶ αἵδε ἐς ἀρτίσκους πεπλασμέναι πίνονται· ἀποτάμνοντα δὲ χρὴ τῆς κεφαλῆς καὶ τῆς οὐραίης ἑκάστου, ὁκόσον δακτύλους τέσσαρας, τὸ λοιπὸν ἕψειν ἐς διάκρισιν τῶν ἀκανθῶν. τὰς δὲ σάρκας ἀρτίσκους διαπλάσαντας, ψύχειν ἐν σκιῇ· πιπίσκειν δὲ τούσδε, ὅκως καὶ τὴν σκίλλην· καὶ αὐτοὶ δὲ οἱ ἔχιες ὄψον ἐν δείπνῳ, ὡς ἰχθύας δὲ χρὴ τούτους σκευάσαι. ἢν δὲ τὸ διὰ ἐχιδνῶν τὸ ποικίλον παρῇ φάρμακον, ἀντὶ πάντων πίνειν τόδε. ἴσχει γὰρ πάντα ὁμοῦ· ῥύπτειν δὲ χρὴ τὸ σκῆνος, καὶ τοὺς ὄχθους διαιαίνειν. φάρμακα δὲ ἄλλα, μυρία τῶν Κελτῶν, οἳ νῦν καλέονται Γάλλοι, τὰς λιτρώδεας τὰς ποιητὰς σφαίρας, ᾗσι ῥύπτουσι τὰς ὀθόνας, σάπων ἐπίκλην, τῇσι ῥύπτειν τὸ σκῆνος ἐν λουτρῷ ἄριστον· καὶ ἀνδράχνην, καὶ ἀείζωον ξὺν ὄξεϊ, ἀτὰρ καὶ λαπάθου ῥιζέων ἀφέψημα. ξὺν ἀπύρῳ θείῳ ῥύπτει καλῶς. ποικίλον δὲ ἁλκυονίου τοῦ λείου, καὶ νίτρου, καὶ τρυγὸς ὄξεος κεκαυμένης, καὶ στυπτηρίης σχιστῆς, καὶ θείου τοῦ ἀπύρου, καὶ κόστου καὶ ἴρεως, καὶ πεπέρεος. τάχα δὲ χρὴ πάντα μίσγειν ἑκάστῳ τὸ πρὸς δύναμιν· ἄλλο δὲ ἴσον καὶ τι δὲ καταπάσσοντα ἀνατρίβειν. ἐς δὲ τοὺς

4. Diem ex die postero anno 5 rarmentorum Dant. 6. viper. inlaro in pastillos formed 7. donec spina discedat 8. ipsa viper in cena pro opsonio 9. corpus detergendo. tumores complanandi 10. inter Celtas qui Galli nunc 11. globis ex nitro, panos absterg. quos saponem vocant. 12. portulaca, semper vivum c sulph 13. 14. composit. aliud ex

15 Aceti faeces combusta

N

16. al. ē hoc. p. a. inspergi. perfricare

ὄχθοις τοῦ προσώπου, κλημάτων τὴν σποδιὴν, ξὺν τινὶ θη-
ρίων στέατι μίσγοντα χρίειν, λέοντος, ἢ παρδάλιος, ἢ ἄρκτου,
τὴν δὲ μὴ, χηναλώπεκος. ὅμοιον γὰρ ἐν ἀνομοίῳ, ὅκως πιθή-
κος ἀνθρώπῳ ἄριστον· καὶ ἀμμωνιακὸν τὸ θυμίημα, ξὺν ὄξει,
καὶ ἀρνογλώσσου χυλῷ, ἢ πολυγόνου, καὶ ὑποκυστίς, καὶ λύκιον·
ἢν δὲ πελιδναὶ ἔωσι αἱ σάρκες, προσεγχαράσσειν ἐγχυλώ-
σιος εἵνεκεν. ἢν δ' ἐπὶ τοῖσι δριμέσι ῥεύμασι ἀναδαρέντα
πρηΰνειν τὰ μέρεα ἐθέλῃς, τήλιος ἀφέψημα, ἢ πτισάνης χυ-
λοῦ ῥύμμα μαλθακόν· λίπας δὲ ῥοδίνου, ἢ σχινίνου. λουτρὰ δὲ
ξυνεχέα ξύμφορα ἐς ὑγρασμὸν, καὶ ἐς διαπνοὴν τῶν κακῶν
χυμῶν. τροφὴ δὲ καθαρὴ, εὔχυμος, εὔπεπτος, ἁπλῆ, καὶ δίαι-
τα εὐκρινὴς πάντη, καὶ ἐν ὕπνοισι, ἢ καὶ περιπάτοισι, καὶ χώ-
ρησι· γυμνάσια, δρόμοι, καὶ ἀνειλήσιες, καὶ κωρυκοβολίαι· ἅ-
παντα ἀκάματα ξὺν ἐμμελέϊ ἐπιτάσι. ἔστω δὲ καὶ ἀναφώ-
νησις τοῦ πνεύματος, γυμνάσιον τὸ καίριον. ἐσθὴς ἔστω καθα-
ρὴ, οὐχ ὡς ὁρῆσθαι μοῦνον ἡδὲ, ἀλλ' ὡς ὅτι καὶ τὰ πινόεντα, ὀ-
δαξώδεα τῷ δέρματι. πιπίσκειν ἀψινθίου τοῦ οἴνου νήστιας.
ἄριστον δὲ ἄρτος ἐκ κριθῶν, καὶ τάριχος ὡραῖος, καὶ σμικρόν τι
μαλάχης, ἢ κράμβης ἡμίεφθον, ξὺν κυμίνου ἐμβάμματι·
ἐς δὲ δεῖπνον, σταφυλῖνος ῥίζα, καὶ χόνδροι ξὺν τῷ οἴνῳ, καὶ
τῷ μέλιτι παλαιῷ τὴν μίξιν, καὶ τὰ θαλάσσια, ὁκόσα τὴν γα-
στέρα ὑπολύει, τελλίνων ζωμοὶ, ὄστρεα, ἐχῖνοι, καὶ τῶν ἰχθύων
οἱ πετραῖοι· χερσαίων δὲ τὰ θήλεα, λαγὼς, ἢ σῦς. πετεινῶν, πέρ-
δικες πᾶσαι, φάσσαι, πελειάδες, καὶ ὁκόσα ἡ χώρη ἄριστα ἴσχει.
ἀκροδρύων, τὰ ὡραῖα· οἶνοι γλυκεῖς, οἰνωδέων κρείσσονες. λου-
τρὰ φύσει θερμὰ, θειώδη· καὶ βίος ἐν ὕδασι μακρὸς, εἴθε καὶ
θάλασσα καὶ πλοῦς· ἐλλεβορισμοὶ, ἐλλέβορος λευκὸς μὲν, τῆς
ἄνω κοιλίης κάθαρσις· μέλας δὲ, τῆς κάτω, καὶ ἔστιν ὁ λευκὸς
οὐκ ἐμετήριος μοῦνον, ἀλλὰ καὶ ξυμπάντων ὁμοῦ καθαρτη-
ρίων ὁ δυνατώτατος, οὐ τῷ πλήθει καὶ τῇ ποικιλίῃ τῆς ἐκκρί-

1. sarmentorum cinis illini
2. panthera ursi
3. q:m q:m simia
4 incid da ut in cam Decio? Talentu
5. excoriatas Part. leniri
6. Ol. lentiscinum.
Victus exacta
7. Contorsione
8. Pilarum Jact
8. Vestis
9. quia sordes pruriunt
10. pro Prandio
11. Salsamentum vetus
12. Liguam:
13. Pastinaca
14. Jusculo Tellinorum
15 ex terrestrib. lepus
16. perdices palumbes Columba
17= ex arboreis fruct: horaria iis quae vinosa sunt vina dulcia meliora.
18. sulphurea

σιος· τόδε γὰρ καὶ χολέρῃ προσήσει· οὐ δὴ ἐντάσεσι καὶ βίῃ τῇσι ἐπὶ τοῖσι ἐμέτοισι· ἐς τόδε γὰρ ναυτίη καὶ θάλασσα κρέσσον· ἀλλὰ δυνάμει τε ποιότητι οὔ τι φαύλῃ· τῇπερ καὶ ὑγιέας τοὺς κάμνοντας ποιέει, καὶ ἐπ' ὀλίγῃ τῇ καθάρσει, καὶ ἐπὶ σμικρῇ τῇ ἐντάσει. ἀτὰρ καὶ πάντων τῶν χρονίων νούσων ἐς ῥίζαν ἱδρυμένων, ἢν ἀπαυδήσῃ τὰ λοιπὰ ἄκεα, τόδε μοῦνον ἰητήριον. πυρὶ ἴκελον γὰρ ἐς δύναμιν λευκὸς ἐλλέβορος, καὶ ὅ, τι περ πῦρ ἐργάζεται ἐκκαῖον, τοῦδε πλέον ἐλλέβορος εἴσω παρεκθέων προσήσει, εὔπνοιαν μὲν ἐκ δυσπνοίης, ἐξ ἀχροίης δὲ εὐχροίην, καὶ ἀπὸ σκελετίης, εὐσαρκίην.

ΑΙ ΔΙΑΦΟΡΟΙ ΓΡΑΦΑΊ ΚΑΙ σφαλμάτων τινῶν ἐπανορθώσεις.

Σελίδ. στίχ.

1 πόις, καὶ βληχροὶ
πλησ. ἴσως, πλησίον δέος. ἄλλως δὲ, ἰδέας
2 περιγρ. ὑπ' ἀπειρίης
κλάειν, ἀνακλαίειν, καὶ ἀνακλάζειν
καὶ σφ. ἴσ. τὴν ἡμέρην
ἐνπν. καὶ μέγα ἐμβοεῖν
3 τὸ, ἐν δὲ χρόνῳ
καὶ ῥῖνα, ἄνεσις δὲ
ναι, ῥηϊδίως λυθῆναι
4 πᾶσι, ἠρεῖσθαι
5 ἐν ἐκλ. γράφε, κεκλασμέναι· σκέλεα ξυγκεκαμμένα ἐναντίως.
6 ἐπευθ. τε καταπάξαι
φλεγ. πνεύματος ἢ πάθεος
ρίην, ὑπὸ τοῖς
θρωποι, ἴσως, ἀπὸ λύσσης
7 εἴσισι, γρ. ἴκελαι
μᾶλλ. γρ. ἀφωνίη· πνῖξ ἢ
8 ἐς τὰ, εἵλκωσε
πετάσθη, τε ἔπνιξε
θαι τε, γρ. πτέρυγες
10 ροι, κακοδμίη
παχὺ, κινηθέων
11 σαν, γρ. ὁ ὑμὴν, ἄλλως

οὐ μὴν
12 μᾶλλ. τὸ πλῦον
13 ροφίην, προσβάλληται
λα περιγ. γρ. σμικρὴ αἰ-
τίη, οὐδὲ σμικρῇ
14 προσ. εἰς μακρὸν
15 φρων, τὴν ἱερὴν
16 γρ. εμ. γρ. γρ. ἐμψοισι
ψις, ἐπεὶ δὲ
17 αὐτί, φθορῆς
τοῦ ἤπ. διακινευμένης
18 ος ἴσως, γρ. ἀντιπαρείησιν
τῇ, μακρὴ καὶ οὐ
21 ρέων, οἷσι παρεμφήνῃ
24 λατοι, ἐξιερωμένης
δεα, ἴσως, ῥηΐδιος, ἄπο-
νος
25 κεν. κυαναὶ
26 νω, γρ. πνευμ.
27 νώτ. γρ. τὸ πλεῖς.
28 θρη, ἢ ὄκνος
29 τῷ, ἐμφύνη
32 τω ἴζ. πρὸς ὦτα τοῦ
33 ὁκόσ. δὲ ὀξύτητι, ἓν
34 ται, ἄνω τῆς ὑστέρης
35 χοιλὴν, ζωῶδες
γυναικ. ἥκιστα ἐκ τοῦ
36 ἐς τὸ, ἄμφοδον, ἐσφαλ-
μένως
κοιλ. ἐπηρμένην

37 ει, αἰτί. χρονίων σημειω-
τικὸν βιβλ.
μετὰ τὸ κεφάλαιον η. τοῦτο
καὶ ἄλλο, Περὶ πνευμονι-
κῆς, κεφ ι. περὶ οὗ
καὶ ἐφεξῆς οὐδὲν δεῖ
εἰσκεῖσθαι.
38 ματος, τὰ χρὴ ἀνασμ.
σι πυρ. ἀπὸ πλήσιος
σι δὲ, ὅσον ὁρῶν
39 ἰαμβ, ἐν κυβερνίῃ αὐλῶν
41 πεψ. νωθείης
42 τίσι, μαραινομένοισι
κίην, ἐς ἐρήμην
ὥρη, θέρος μὲν καὶ φθι-
νόπωρον
μετ. ἴσως, εἰ γὰρ ἥσυχοι
ἐῶν, φιλανθρωπίη
φυρσοι, ἴσως, ὀλοφύρσιες
ἐς
43 χόνδρ. ὁκόσα βρομώδε-
ες. ὡς ἐξ ἁλὸς ὀρυ-
γμίη
46 ἐς τὸ, ἄμφοδον αἰδῶσι,
ἐσφαλμένως, ὡς δο-
κεῖ
47 ἀπὸ πλ. τοῦ σώματος
σμῷ, σμῶν
γυναικ. προσκαίρου
χεῖρες, ἴσως, ἐς τὸ ἴσον

48 μα, ξιωαφέα καλέε-
ται
τὰ δεξ. μέσφι παρὰ τὸ δὲ
λαξαμ. ἐς χιεσμὸν
49 πων, καὶ κραινοισι
αὖτε, ἢ δὲ
50 μός. παλαίνεται
παγος, ὄψαι ἐς τὸ
51 ΗΝ. ἐκ τὸς ἐξ
πανάγ ἔμπυοι οἵδε
νεχθέν. ἔμπυοι
ἴδια, διὰ φθοῆς
52 δὲ. τῇ βήσσῃ
53 χέβρ. χέβρωχοι
ἐστὶ ὑγρ. ἐκκέεται
55 μικρὸν, ἴσως, μακρὸν
57 πνεῦμ. κολπώδεα
παρήξι, δίηθεται
θρά. ῥογμὸς, ἐχρήγορσις
νη. ἴσως, ἐπιθυμίῃ ἐς τὸ
60 αἱμ, γρ. αἱμάλωψ
62 ὀμίχλ. ὡς μὴ δοκέειν
63 ὅδε, ἴσως, ὧδε
βάλοισι, μᾶλλον αὕτεροι χροιῆς
64 λάβῃ, ἰδέην ἐργασίῃ
65 μότερον, λευκόχροοι
66 σαπῷ, χεύμασι
ἐγχρον. ἐνύδρωπα
δὲ, ἢ ὠχρότης
67 δέῃ, τρέψις

καὶ ἐπὴν, ὠμοῦ
69 πέχν. ἴηνται
70 γόνεσι, ἐμπλέῃ
σάρκ. ἐν ἀνελπίστοισι
βραχ. πόθαι
71 μεταρ. μεταῤῥέει
72 ἢ σῦρ. αὐτέων
πον, ὕδερον
73 οὐ γὰρ, ἴσως, ἀφέσιος
74 τα πολλ, πονέοντες
75 Νεφρ. χροιῇ ἐστὶ
77 ἰδέα, ἢ περὶ, καὶ, ἢ παρ
ουρέουσ. ἢ ξυμμορφή.
78 μᾶλλον, φαρμάκῳ ἀμφι-
θρύπτω
θρωπ. μετὰ νεύρων
τῆσι, μᾶλλον δώσει
κύστις, οὐ δίῃσι
80 ἡ φορ. ῥοή. τὸ γοῦν γίγν.
λευκ. ἀπόσιτοι, ψυχροὶ,
ναρκ. νάρκαι σκελέων ἀ-
κρατέες, καὶ ἐς παί-
τα παρετοί.
ρῆς, ἀλγέης μέσφι
σι, ὑπ' ἀκρατίης γίγνον-
ται. κρεάτων μετὰ οἴνου
81 νον, ἀθέντα μᾶλλον. καὶ, ἀνα
πεμπάζονται δ' ἐν
αὐτῇ
84 λίην, ἐπ' ἄνθρακος

τοῖσι, ἐν κυμβάλοισι
86 ἢ ῥυτέων, γρ. βρυλέων, ὡς
αἴτω, σελίδ. 10.
κρίσ. τεινεσμὸς
87 πλεῦν. ἴσως, ἀμφὶ ἐντέ-
ρου τοῖσι ἀγνοοῦσι
τὸ πρῆγμα
γος, θρομβοῦται γὰρ
88 χὴ δὲ, ἢ νομὴ
89 δὲ, ὥρης
πιλὼ, ἴσως, διαῤῥέειν
ἐντ. ἐν τούτῳ οἶσι θερμὸν
ἰῶ
τε, καταπέσσειν, καὶ, ἀναίσ
σειν
90 δὲ, ἐπὶ πλ.
91 τεσσ., ὁμοίην παῖδα
92 χαλ. πᾶς γὰρ ἰητρ.
93 καὶ ἐν, καὶ ὀστέων οἶσι
κνόν, καὶ χώσιος, τὴν δὲ
94 ἢ ὀσφ. ἴσως, ὀκέλλει
95 οἱ γὰρ, οἱ π ων ου
δὲ λικέων
φαρμά. χρὴ, ἴσως, χρήζει
96 σκήν. γρ. οἱ θρήϊκες
97 τὲ καί, τοῖσι ὤμοισι
φεσι, μεναρτέρῳ
98 πάγος, ὡς ἔπι
99 ῥηΐδιν, ῥηϊδίως
100 θος, ῥύπτει δὲ συχνά,

βαθεῖς
λα, ὀπίες, ἴσως, ὄψιες
101 ται. τὸν ἄνθρωπον
ἄλγος, ἐν γὰρ
102 ὡς ξηρ. δὲ, ἐς φῦμα,
ζωὴν
103 πυρ. ἄλκεα
105 ραφ. οὖτε
106 πισαν. ἴσως, ὡς ἀτρο-
φώτερος
107 θέρμ. διαλυτικά, τὰ
τῆς
108 σιν. τὴν πῆσιν
109 ὕλη, γὰρ ἄλιτον, ἀντὶ τοῦ
ἄλφιτον
πανίη, κουρῆ
110 φορον, πῦρ τὸ
στροφῆς, ἢ κυαμοῦ, ἀλλ'
ἐσφαλμένως, ὡς δο-
κεῖ.
113 φαγῆς, αἱ διαθήσιες
κυωνίῳ, Σικυώνιον
ται, εἰργομένου τοῦ
114 χολὴν, ὕασωπος ἐν με-
λικρήτῳ ἑψηθεῖσα
ἑψηθ. ὀρίγανος· δριμὺ
μὲν
φορῆς, ἀνέζεσθαι κυά-
θων γ.
115 ἀσθή. γρ. αἰσθήσιος

τάδε, γρ. λιμνήστιδος
σηστιν, μάστησιν
116 κον, ἴσως, ἢ ὕφεδρ
117 ἦν, ἣν δὲ, τε, ξυνήθεσι
ἀποπλ. ἢ ἐπ' ἀρ.
118 νήπ. δένδρεω
μάλ. εἰ δὲ κάλυμα
ἔσω, κριστέρη
119 ἄπυρ ἄπωροι
120 δὲ χρὴ, ἐπιστολὴν τῆς
στι, οὐκ ἀεὶ
121 ἐπὶ, ἐκκρεμῆ
καὶ ξυνὸ, οι ὤψ, γαιοψη-
λαφίη, ἴσως, γυιοψη-
λαφίη
122 βλώσῃ, γυναικὶ, φλ.
123 δὲ γὰρ, ἐς ἔνθληψιν
νῳ, γρ. ἐν οἷς
124 θριον, μετεξετέροισι
126 τα τηκλ. πυρίη θερμῇ
127 φεψ. σύκον τε πίονα
128 θρόον, μέζον τοῦ τομῆς
129 κλυσμ. ἐπιπλήσιες
σμοι, χρήσιες
καὶ κλ. πάθος. αὖω γὰρ·
ἀλλὰ ξυνετὸν
131 φλεγ. θερμασίη ἐξώκ.
μὴ ὦν, μιγματώδης
132 σέων, μήλῳ ἑφθῷ
γαστέρ. στέῤῥης ἄγιτον
γυνῇ. ἐγκαιομένης
133 μίσγειν, καὶ κάγχρυ τοῖσι
μης, σικύην, ὃ καὶ ἀλη-
θέστερον δοκεῖ.
134 σιος, πτύελα
δὲ μὴ, πικέριον
κώνου, κοκκάδου
135 ἀλλὰ, δέει τῆς
138 λιπαῖ, γρ. λιμνήστιδος
140 ψύξαι, σύψαι τε
141 φλεβ. διαιρεῖ γὰρ
λὸς, μοίρην
κρίτῳ. ξηρὰ πάσσειν
142 πυρ. τῶν χρωμάτων
143 ποικ. ἥκειν
φημα, ἄλεσι
144 κοιῶ, ἐς τὸ πειρὸν
ος. ἕτερον, ἴσως, ὕστερον
146 λὰ, γρ. χήραν
σιν, ἴσως, ἐμφωύει
δὲ, πλησμονῆς
147 ὀρέγ. γρ. δίψιος
τρείη, γρ. ἐνεργῶ
151 κίνης. ὥρης, ἴσως αἰώ-
ρης
τέρη, λύσαντα
154 λίπαος, γρ. δάφνης
155 κὴν, ἴσως, ἱζαίνουσι
φθῶ, γρ. τὸν δὲ
αἱ, καύσοισι

158 χρησ, ἴσως, ἔπι γάλα. καὶ
ἄπωροι, ἢ, ἄπυοι
159 ται, θηραιὸς
160 καὶ γὸ, βάθεϊ
161 τον ἦ, λαπάσιος
ἐς οἴα γε, ἴσως οἴακε
165 ὑπέρορ. ἰάνθη
πλῆθ. ἐσάπαξ ὧν
168 καὶ ωμ. καυτήρων βοὴ
λαδν, ἴσως, ἐμπλάττειν
ρας, καὶ τὸ ποιητικὸν
169 λοὶ, κάρφ

ε οἴδε, εὔπνοες
καὶ ἐν. ἴσως, διεξαγωγὴ
172 λεῖοι, καὶ ὑπέρτατοι.
του, ἀρήγειν, ὁκόσον
173 θαι, φυγὴ γὸ μουσῶν
177 τοῦ, ἴσως, ἔασι
180 ἀδιώ, ἴσως, ἦν γὸ
189 ΗΝ, ἴσως, ἀκρατὴς ἢ
ἄπεπτ. ἴσως, ἄπρεπτος
γειν, ἐς ζύφον.

